XXXVI

GRIEKSCHE EN LATIJNSCHE SCHRIJVERS MET AANTEEKENINGEN

UITGEGEVEN VOLGENS BESLUIT VAN HET GENOOTSCHAP VAN LEERAREN
AAN NEDERLANDSCHE GYMNASIA, ENZ.
(54ste Algem. Vergadering— 13 Juli 1884)

EURIPIDES' IPHIGENIA IN TAURIË

BEWERKT DOOR

DR J. D. MEERWALDT
Leraar aan het Barlaeus-gymnasium te Amsterdam

I

INLEIDING EN TEKST

LEIDEN
E. J. BRILL
1940

24132

EURIPIDES' IPHIGENIA IN TAURIË

I

INLEIDING EN TEKST

ATTISCHE KELK-KRATER
begin 4e eeuw v. Chr.

Iphigenia, de tempelsleutel op de schouder, overhandigt aan Pylades haar brief. Rechts van haar, achter een offertafel, het Artemisbeeld. Op de voorgrond zittend Orestes.

XXXVI

GRIEKSCHE EN LATIJNSCHE SCHRIJVERS MET AANTEEKENINGEN

UITGEGEVEN VOLGENS BESLUIT VAN HET GENOOTSCHAP VAN LEERAREN
AAN NEDERLANDSCHE GYMNASIA, ENZ.
(54ste Algem. Vergadering—13 Juli 1884)

EURIPIDES' IPHIGENIA IN TAURIË

BEWERKT DOOR

DR J. D. MEERWALDT
Leraar aan het Barlaeus-gymnasium te Amsterdam

I

INLEIDING EN TEKST

LEIDEN
E. J. BRILL
1940

VOORBERICHT

Toen de firma Brill mij in de gelegenheid stelde voor haar bekende serie „Grieksche en Latijnsche schrijvers met aanteekeningen" een nieuwe tekst in bewerking te nemen, is terstond mijn keus gevallen op de Iphigenia in Taurië *van Euripides. Hoeveel een toegewijde lectuur van dit stuk vermag bij te dragen tot verrijking van geest en gemoed beide is mij in de loop der jaren herhaaldelijk gebleken; bovendien opent zich hier voor later een vruchtbare gelegenheid tot vergelijking met Goethe's gelijknamig drama, waarin dezelfde stof in een geheel nieuwe denk- en gevoelswereld is overgebracht.*

Voor de vaststelling van de tekst ben ik uitgegaan van die der door Grégoire bezorgde Budé-uitgave. Op verschillende plaatsen heb ik echter aanleiding gevonden in afwijking van deze of emendaties van vroegeren of eigen voorstellen tot verbetering op te nemen; niet zelden ook — deze compensatie geeft altijd een kleine verheugenis — bleek het mogelijk een lezing der handschriften in ere te herstellen. Een opgave van genoemde punten van verschil is afgedrukt achter de commentaar. Ook in de tekst gebruik te maken van de aldaar te vinden critische haakjes leek mij met het oog op de speciale bestemming dezer uitgave minder aan te bevelen; anderzijds scheen het in ditzelfde verband gewenst een uitgebreider en meer op ons Nederlands oor berekende interpunctie toe te passen dan die der geleerde edities. Dat voorts de meest nodige toneel-aanwijzigingen bij de tekst zelf zijn geplaatst, zal naar ik vertrouw bij mijn collega's instemming vinden. Het in onmiddellijk contact blijven met de realiteit der handeling is vooral voor den jeugdigen lezer van grote waarde.

Voor de interpretatie heb ik naast Grégoire veel te danken aan het voortreffelijk werk van vroegere uitgevers van

de Iphigenia. Meer dan eens zal de der zake kundige echter ook oorspronkelijke opvattingen onderkennen, een polemiseren — anders dan implicite in de toelichting — heb ik stelselmatig vermeden. Dat de commentaar desondanks vrij omvangrijk is geworden vindt zijn grond vooral in twee omstandigheden. Eensdeels heb ik namelijk bij mijn adnotatie bijzonder aandacht geschonken aan typische verschijnselen van semantische en syntactische aard, anderzijds is het mijn streven geweest naast korte beschouwingen van meer zakelijk gehalte ook zulke te geven, die konden strekken tot het onderscheiden van de karakteristieke elementen in Euripides' kunst. Speciaal mag ik hier noemen het nog tot grondiger bestuderen nodend thema van zijn even sterk visueel als auditief expressivisme. Een metrische analyse der lyrische gedeelten heb ik gemeend met het oog op de gangbare schoolpraktijk achterwege te kunnen laten. Mocht dit een misvatting blijken, dan kan bij een eventuele tweede druk de leemte worden aangevuld.

Tot slot rest mij het uitspreken van een woord van dank, zowel aan de uitgeefster voor haar geredelijk inwilligen van mijn verzoek tot splitsing van tekst en commentaar en voor de smaakvolle verzorging van het geheel, alsmede aan den Utrechtsen archaeoloog Dr. G. van Hoorn voor zijn advies betreffende een illustratie bij de titel. De buiten vakkringen vrijwel onbekende vaasafbeelding die op zijn raad werd gekozen, is overgenomen uit het Italiaanse tijdschrift voor beeldende kunsten Dedalo, *jaargang 1932, bladzijde 415. Voor de voorstelling op de achterzijde van de krater waar men Thoas vindt afgebeeld, en voor enige op onze reproductie zichtbare bijfiguren — links boven reikt een Taurër een krans aan — zij verwezen naar het bijbehorend artikel ter aangehaalde plaatse, dat ook rijk is aan afbeeldingen van détails.*

J. D. MEERWALDT.

INLEIDING

Inhoud

In het woeste Taurië, een landstreek aan de Zwarte Zee (de tegenwoordige Krim), heerst de barbaarse zede iederen vreemdeling, die het land betreedt, als offer te slachten bij het altaar van Artemis. De zorg voor het ritueel dezer offeranden is door den landsheer, koning Thoas, opgedragen aan een jonge Griekse, Iphigenia, de dochter van Agamemnon en Clytaemnestra. Op wonderbaarlijke wijze is deze weleer, toen haar vader op het punt stond haar in Aulis als offer voor Artemis te doden, door de godin zelve gered en hierheen ontvoerd. Sindsdien priesteres in het Taurisch heiligdom verricht zij gehoorzaam, maar met weerzin in het hart, de haar opgelegde taak.

In de nacht voorafgaande aan de dag waarop het stuk speelt heeft Iphigenia een droom gehad, waaruit zij opmaakt dat daarginds in het verre Argos haar enige broeder Orestes moet zijn gestorven. Tezamen met haar Griekse tempeldienaressen gaat zij nu hier in den vreemde hem ter ere het dodenoffer brengen. — Intussen is die zelfde broeder, vergezeld van zijn trouwen vriend Pylades, juist op deze dag met zijn schip aan de Taurische kust geland om in opdracht van den Delphischen orakelgod het beeld van Artemis daar uit de tempel te roven en over te brengen naar Athene. Is deze taak volbracht, dan zal hij voortaan met vrede worden gelaten door dat deel der Erinyën, dat hem ook na zijn vrijspraak voor de Areopagus nog rusteloos is blijven achtervolgen als moordenaar van zijn moeder. Zodra de nacht gekomen is, zal het waagstuk ondernomen worden; tot dan zullen de vrienden zich schuil houden in een grot bij de zee.

Door herders ontdekt in hun schuilplaats, waar Orestes ten prooi is aan een aanval der Furiën, worden de beide jonge mannen gevangen genomen en op Thoas' bevel ter-

stond naar de tempel gevoerd. Iphigenia zal hen daar wijden voor de offerplechtigheid. De gevangenen verschijnen voor de hun vreemde priesteres en nu ontspint zich een gesprek, waarbij Iphigenia heel de jammer van haar huis verneemt: Agamemnon vermoord door zijn gade, en Orestes, getrouw aan de plicht van bloedwraak, de moordenaar zijner eigen moeder. — De mededeling dat de jonge vorstenzoon zelf nog in leven is, brengt Iphigenia op een gedachte. Als zij een der beide Grieken ongedeerd laat gaan, dan kan deze een brief voor haar broeder bestemd naar Mycene brengen. De vrienden gaan in op dit voorstel en na een edele strijd, wie van beiden zich voor den ander zal mogen opofferen, neemt ten slotte Pylades node de taak op zich die hem het leven zal redden. Een voorzorg echter die genomen wordt bij het ter hand stellen van de brief — Iphigenia deelt Pylades tevens de inhoud daarvan mede — leidt tot een wederzijdse herkenning en het drietal, van nu aan lotgenoten, ziet zich gesteld voor de dubbele vraag, hoe gezamenlijk te ontvluchten en daarbij het Artemisbeeld te ontvoeren.

Het is Iphigenia die raad schaft. Voorgevende dat het beeld ontwijd is door aanraking met deze ᶜdoor moedermoord bezoedeldᵓ vreemden, weet zij Thoas ervan te overtuigen, dat een geheimzinnige reiniging zal moeten plaats vinden, op een afgelegen plek aan het strand, ver van aller ogen .... Nog op het laatste ogenblik dreigt deze vermetele krijgslist te mislukken. Het schip toch dat de vluchtelingen na een gevecht met hun bewakers heeft opgenomen, wordt door een tegenwind teruggedreven en Thoas waant zich reeds zeker van zijn wraak. Maar dan verschijnt op eenmaal aan de hemel de gestalte van Pallas Athena en voor het woord der godin, dat de eredienst der ᶜTaurischeᵓ Artemis in edeler vorm op komt eisen voor haar volk en haar land, zwicht de barbarenvorst. Over de stilgeworden wateren vaart het kroost van Agamemnon veilig heen en de Griekse tempelvrouwen, aan

wie mede een vrije terugkeer is toegezegd, brengen voor de uiteindelijke redding van allen Athena lof en dank.

Karakter van het stuk

Tot zover in hoofdtrekken de handeling dezer blij-eindigende *tragedie*, een naam die voor de oudheid een ruimer betekenis had dan die wij er aan plegen toe te kennen en die zich naar zijn waarde eerder laat weergeven met ᶜhooggestemd spelᵓ dan met het traditionele ᶜtreur-spelᵓ. Het stuk, welks opvoering dateert uit een periode van grote depressie (de eerste jaren na de voor Athene fataal geworden Siciliaanse expeditie) vertoont evenals enkele andere tot dezelfde groep behorende spelen van Euripides een zekere trek naar het avontuurlijke en romantisch-verbeeldingrijke; het moet bovendien om het bij uitstek nationaal karakter der sagebewerking een bijzondere bekoring voor het Atheens publiek hebben gehad.

Ontleende en oorspronkelijke motieven

Ieder wist van het heilige graf der „Artemis-priesteres Iphigenia" te Brauron in het Oosten van Attica en ieder kende het primitieve „uit de hemel gevallen" Artemisbeeld, dat te Halae niet ver vandaar werd vereerd met een symbolische ritus die in uiterlijk deed denken aan een mensenoffer. De overoude cultus-naam der godin, waarvan de betekenis duister was geworden, luidde „Tauropolos" [1]) en op grond van die bijnaam had zich in betrekkelijk jonge tijd een legende gevormd, die de herkomst van haar dienst afleidde van de mensenoffers, door de Scythische Tauriërs gebracht aan hun godin, „De Maagd". De met Agamemnon's te Aulis geofferde dochter bij fictie vereenzelvigde „Iphigenia" van Attica — in werkelijkheid was *Iphigenia* oorspronkelijk een tweede naam geweest voor Artemis — zou tezamen met het „uit de hemel gevallen" beeld der godin uit T a u r i ë zijn ontvoerd door haar broeder Orestes; deze zou alvorens naar Mycene terug te keren de tempel te Halae hebben gesticht en Iphigenia hebben achtergelaten als priesteres van het naburig Braurons heiligdom.

1) Zie bij vs. 1457.

Aan deze locale Attische sage, die overigens ten dele reeds elders haar voorgeschiedenis had gehad, heeft Euripides in grondtrekken de stof ontleend voor zijn tragedie. Op oorspronkelijke wijze heeft hij deze stof echter uitgebreid en verwerkt tot een dramatisch geheel met een sterk persoonlijk denk- en gevoelsgehalte. In het bijzonder zij hier genoemd de gehele opzet van de op spannende wijze allengs voorbereide 'herkenning' door de brief, een verrassende vondst die in de oudheid als voorbeeldig gold, en het tot een tweede reeks nog intenser spanningen voerend bedrog ten opzichte van koning Thoas. Daarnaast is ongetwijfeld ook eigen vinding de voor verschillende onderdelen van het stuk zo belangrijke voorstelling, dat Orestes door de Areopagus-vrijspraak slechts verlost zou zijn geworden van een *deel* der Furiën; onder anderen de door den herder beschreven waanzin-scène in de grot en de tot welbehagen van het Atheens gehoor Orestes in de mond gelegde verklaring van het nationaal 'Kannenfeest' (947 vv.) vinden hierin hun oorsprong.

Bij de in het voorafgaande gegeven schifting van overgenomen en zelfgevonden motieven heb ik gemeend mij kortweg te moeten aansluiten bij de op sterke waarschijnlijkheidsgronden berustende conclusies van Wecklein en Grégoire. Een enkele toevoeging moet ik daarbij echter maken. Apollo's orakel-opdracht met haar vele, in de aantekening bij vs. 1014 aangewezen dubbelzinnigheden [1]), heeft mijns inziens mede reeds deel uitgemaakt van de

1) Volgens de nieuwere uitgevers ontbreekt bij Euripides ieder spoor van een dubbele bedoeling van het orakel (zie Weil); op ἄγαλμα (1014) was tot nu voorzoover mij bekend nooit de aandacht gevallen. — Goethe formuleert in zijn *Iphigenie auf Tauris* Apollo's opdracht als volgt:

„Bringst du *die Schwester*, die an Tauris' Ufer
Im Heiligthume wider Willen bleibt,
Nach Griechenland, so löset sich der Fluch".

Orestes ontdekt dan op het einde, dat dit een tweeledige zin heeft gehad.

door de priesters van Halae geatticeerde sage. Ware zij uitgedacht door Euripides, hij zou haar stellig niet zo kort en vluchtig hebben aangeroerd als thans is geschied. De bijzondere aanleiding tot het geven van dit tweede orakel — de *voortzetting* der achtervolging door een gedeelte der Furiën — kan daarbij onveranderd eigen vinding blijven van den dichter, hetzij wij hebben aan te nemen dat hij een oorspronkelijk dubbele opdracht (verantwoording voor de Areopagus en terughalen van het beeld) in twee afzonderlijk gegevene heeft gesplitst, hetzij het motief voor een tweede gang naar Delphi alvorens terug te keren naar Mycene oorspronkelijk een ander is geweest.

Met het bovenstaande meen ik ter algemene inleiding te mogen volstaan. Voor een nadere beschouwing van verschillende aspecten en onderdelen van het kunstwerk zal zich bij de afzonderlijke toelichtingen in de commentaar nog ruimschoots gelegenheid bieden.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΙΦΙΓΕΝΕΙΑ	ΒΟΥΚΟΛΟΣ
ΟΡΕΣΤΗΣ	ΘΟΑΣ
ΠΥΛΑΔΗΣ	ΑΓΓΕΛΟΣ
ΧΟΡΟΣ	ΑΘΗΝΑ

De verschillende rollen heeft men zich als volgt verdeeld te denken over drie toneelspelers: *protagonist* Iphigenia, Athena; *deuteragonist* Orestes, herder, bode; *Tritagonist* Pylades, Thoas.

De vijftien koorleden stellen tempeldienaressen voor; een daarvan, de leidster, neemt een enkele maal deel aan de dialoog.

ΙΦΙΓΕΝΕΙΑ Η ΕΝ ΤΑΥΡΟΙΣ

Het toneel vertoont links de tempel van Artemis, rechts de woning van Iphigenia, deze beide verbonden door een muur. Voor de tempel staat een altaar. Iphigenia treedt naar buiten.

monolog

ΙΦΙΓΕΝΕΙΑ

Πέλοψ ὁ Ταντάλειος, ἐς Πῖσαν μολὼν
θοαῖσιν ἵπποις, Οἰνομάου γαμεῖ κόρην·
ἐξ ἧς Ἀτρεὺς ἔβλαστεν· Ἀτρέως δὲ παῖς
Μενέλαος Ἀγαμέμνων τε· — τοῦ δ' ἔφυν ἐγώ,
τῆς Τυνδαρείας θυγατρὸς Ἰφιγένεια παῖς· 5
ἣν ἀμφὶ δίναις ἃς θάμ' Εὔριπος πυκναῖς
αὔραις ἐλίσσων κυανέαν ἅλα στρέφει,
ἔσφαξεν Ἑλένης οὕνεκ', ὡς δοκεῖ, πατὴρ
Ἀρτέμιδι κλειναῖς ἐν πτυχαῖσιν Αὐλίδος.
ἐνταῦθα γὰρ δὴ χιλίων ναῶν στόλον 10
Ἑλληνικὸν συνήγαγ' Ἀγαμέμνων ἄναξ,
τὸν καλλίνικον στέφανον Ἰλίου θέλων
λαβεῖν Ἀχαιοῖς, τούς θ' ὑβρισθέντας γάμους
Ἑλένης μετελθεῖν, Μενέλεῳ χάριν φέρων.
δεινῆς δ' ἀπλοίας πνευμάτων του τυγχάνων 15
ἐς ἔμπυρ' ἦλθε· καὶ λέγει Κάλχας τάδε·
„ὦ τῆσδ' ἀνάσσων Ἑλλάδος στρατηγίας,
Ἀγάμεμνον, οὐ μὴ ναῦς ἀφορμίσῃ χθονός,
πρὶν ἂν κόρην σὴν Ἰφιγένειαν Ἄρτεμις
λάβῃ σφαγεῖσαν· ὅ τι γὰρ ἐνιαυτὸς τέκοι 20
κάλλιστον, ηὔξω φωσφόρῳ θύσειν θεᾷ.
παῖδ' οὖν ἐν οἴκοις σὴ Κλυταιμνήστρα δάμαρ
τίκτει — τὸ καλλιστεῖον εἰς ἔμ' ἀναφέρων —
ἣν χρή σε θῦσαι." καί μ' Ὀδυσσέως τέχναις

μητρὸς παρείλοντ' ἐπὶ γάμοις Ἀχιλλέως.
ἐλθοῦσα δ' Αὐλίδ' ἡ τάλαιν' ὑπὲρ πυρᾶς
μεταρσία ληφθεῖσ' ἐκαινόμην ξίφει·
ἀλλ' ἐξέκλεψεν ἔλαφον ἀντιδοῦσά μου
Ἄρτεμις Ἀχαιοῖς, διὰ δὲ λαμπρὸν αἰθέρα
πέμψασά μ' ἐς τήνδ' ᾤκισεν Ταύρων χθόνα,
οὗ γῆς ἀνάσσει βαρβάροισι βάρβαρος
Θόας, ὃς ὠκὺν πόδα τιθεὶς ἴσον πτεροῖς
ἐς τοὔνομ' ἦλθε τόδε ποδωκείας χάριν.
ναοῖσι δ' ἐν τοῖσδ' ἱερέαν τίθησί με,
θύειν νόμοισι τοῖσιν ἥδεται θεὰ
Ἄρτεμις ἑορτῆς — τοὔνομ' ἧς καλὸν μόνον,
τὰ δ' ἄλλα σιγῶ, τὴν θεὸν φοβουμένη.
θύω γάρ, ὄντος τοῦ νόμου καὶ πρὶν πόλει,
ὃς ἂν κατέλθῃ τήνδε γῆν Ἕλλην ἀνήρ·
κατάρχομαι μέν, σφάγια δ' ἄλλοισιν μέλει
ἄρρητ' ἔσωθεν τῶνδ' ἀνακτόρων θεᾶς.
ἃ καινὰ δ' ἥκει νὺξ φέρουσα φάσματα,
λέξω πρὸς αἰθέρ', εἴ τι δὴ τόδ' ἔστ' ἄκος.
ἔδοξ' ἐν ὕπνῳ τῆσδ' ἀπαλλαχθεῖσα γῆς
οἰκεῖν ἐν Ἄργει, παρθενῶσι δ' ἐν μέσοις
εὕδειν, χθονὸς δὲ νῶτα σεισθῆναι σάλῳ,
φεύγειν δὲ κἄξω στᾶσα θριγκὸν εἰσιδεῖν
δόμων πίτνοντα, πᾶν δ' ἐρείψιμον στέγος
βεβλημένον πρὸς οὖδας ἐξ ἄκρων σταθμῶν.
μόνος δ' ἐλείφθη στῦλος, ὡς ἔδοξέ μοι,
δόμων πατρῴων, ἐκ δ' ἐπικράνων κόμας
ξανθὰς καθεῖναι, φθέγμα δ' ἀνθρώπου λαβεῖν·
κἀγὼ τέχνην τήνδ' ἣν ἔχω ξενοκτόνον
τιμῶσ' ὕδραινον αὐτὸν ὡς θανούμενον,

κλαίουσα. — τοὔνομ' δ' ὧδε συμβάλλω τόδε·
τέθνηκ' Ὀρέστης, οὗ κατηρξάμην ἐγώ.
στῦλοι γὰρ οἴκων εἰσὶ παῖδες ἄρσενες·
θνῄσκουσι δ' οὓς ἂν χέρνιβες βάλωσ' ἐμαί.
οὐδ' αὖ συνάψαι τοὔνομ' ἐς φίλους ἔχω·
Στροφίῳ γὰρ οὐκ ἦν παῖς, ὅτ' ὠλλύμην ἐγώ.
νῦν οὖν ἀδελφῷ βούλομαι δοῦναι χοὰς
παροῦσ' ἀπόντι — ταῦτα γὰρ δυναίμεθ' ἄν —
σὺν προσπόλοισιν, ἃς ἔδωχ' ἡμῖν ἄναξ
Ἑλληνίδας γυναῖκας. ἀλλ' ἐξ αἰτίας
οὔπω τινὸς πάρεισιν· εἶμ' ἔσω δόμων
ἐν οἷσι ναίω τῶνδ' ἀνακτόρων θεᾶς.

Zij gaat naar binnen. Van rechts komen op Orestes en Pylades.

ΟΡΕΣΤΗΣ

ὅρα, φυλάσσου· μή τις ἐν στίβῳ βροτῶν.

ΠΥΛΑΔΗΣ

ὁρῶ, σκοποῦμαι δ' ὄμμα πανταχῇ στρέφων.

ΟΡ. Πυλάδη, δοκεῖ σοι μέλαθρα ταῦτ' εἶναι θεᾶς
ἔνθ' Ἀργόθεν ναῦν ποντίαν ἐστείλαμεν;

ΠΥ. ἔμοιγ', Ὀρέστα· σοὶ δὲ συνδοκεῖν χρεών.

ΟΡ. καὶ βωμός, Ἕλλην οὗ καταστάζει φόνος;

ΠΥ. ἐξ αἱμάτων γοῦν ξάνθ' ἔχει τριχώματα.

ΟΡ. θριγκοῖς δ' ὑπ' αὐτοῖς σκῦλ' ὁρᾷς ἠρτημένα;

ΠΥ. τῶν κατθανόντων γ' ἀκροθίνια ξένων.

ἀλλ' ἐγκυκλοῦντ' ὀφθαλμὸν εὖ σκοπεῖν χρεών.

Hij doet als gezegd; Orestes geeft zich geen verdere moeite.

ΟΡ. ὦ Φοῖβε, ποῖ μ' αὖ τήνδ' ἐς ἄρκυν ἤγαγες
χρήσας, ἐπειδὴ πατρὸς αἷμ' ἐτεισάμην,

μητέρα κατακτάς· διαδοχαῖς δ' Ἐρινύων
ἠλαυνόμεσθα Φυγάδες, ἔξεδροι χθονός,
δρόμους τε πολλοὺς ἐξέπλησα καμπίμους·
ἐλθὼν δέ σ' ἠρώτησα πῶς τροχηλάτου
μανίας ἂν ἔλθοιμ' ἐς τέλος πόνων τ' ἐμῶν,
οὓς ἐξεμόχθουν περιπολῶν καθ' Ἑλλάδα....
σὺ δ' εἶπας ἐλθεῖν Ταυρικῆς μ' ὄρους χθονός,
ἔνθ' Ἄρτεμίς σοι σύγγονος βωμοὺς ἔχει,
λαβεῖν τ' ἄγαλμα θεᾶς, ὅ Φασιν ἐνθάδε
ἐς τούσδε ναοὺς οὐρανοῦ πεσεῖν ἄπο·
λαβόντα δ' ἢ τέχναισιν ἢ τύχῃ τινί,
κίνδυνον ἐκπλήσαντ', Ἀθηναίων χθονὶ
δοῦναι — τὸ δ' ἐνθένδ' οὐδὲν ἐρρήθη πέρα·
καὶ ταῦτα δράσαντ' ἀμπνοὰς ἕξειν πόνων.
ἥκω δὲ πεισθεὶς σοῖς λόγοισιν ἐνθάδε
ἄγνωστον ἐς γῆν, ἄξενον. — σὲ δ' ἱστορῶ.
Πυλάδη, σὺ γάρ μοι τοῦδε συλλήπτωρ πόνου,
τί δρῶμεν; ἀμΦίβληστρα γὰρ τοίχων ὁρᾷς
ὑψηλά· πότερα δωμάτων προσαμβάσεις
ἐκβησόμεσθα; — πῶς ἂν οὖν μάθοιμεν ἄν,
ἢ χαλκότευκτα κλῇθρα λύσαντες μοχλοῖς,
ὧν ἔνδον ἴσμεν; ἢν δ' ἀνοίγοντες πύλας
ληΦθῶμεν ἐσβάσεις τε μηχανώμενοι,
θανούμεθ'. — ἀλλὰ πρὶν θανεῖν, νεὼς ἔπι
Φεύγωμεν ἥπερ δεῦρ' ἐναυστολήσαμεν.

ΠΥ. Φεύγειν μὲν οὐκ ἀνεκτὸν οὐδ' εἰώθαμεν·
τὸν τοῦ θεοῦ δὲ χρησμὸν οὐ κακιστέον.
ναοῦ δ' ἀπαλλαχθέντε κρύψωμεν δέμας
κατ' ἄντρ' ἃ πόντος νοτίδι διακλύζει μέλας,
νεὼς ἄπωθεν, μή τις εἰσιδὼν σκάΦος
βασιλεῦσιν εἴπῃ κἆτα ληΦθῶμεν βίᾳ.

ὅταν δὲ νυκτὸς ὄμμα λυγαίας μόλῃ,
τολμητέον τοι ξεστὸν ἐκ ναοῦ λαβεῖν
ἄγαλμα πάσας προσΦέροντε μηχανάς·
ὅρα δέ γ' εἴσω τριγλύΦων ὅποι κενὸν
δέμας καθεῖναι. — τοὺς πόνους γὰρ ἀγαθοὶ
τολμῶσι, δειλοὶ δ' εἰσὶν οὐδὲν οὐδαμοῦ.
οὗτοι μακρὸν μὲν ἤλθομεν κώπῃ πόρον,
ἐκ τερμάτων δὲ νόστον ἀροῦμεν πάλιν.

ΟΡ. ἀλλ' εὖ γὰρ εἶπας, πειστέον· χωρεῖν χρεὼν
ὅποι χθονὸς κρύψαντε λήσομεν δέμας.
οὐ γὰρ τὸ τοῦδέ γ' αἴτιον γενήσεται
πεσεῖν ἄχρηστον θέσΦατον· τολμητέον·
μόχθος γὰρ οὐδεὶς τοῖς νέοις σκῆψιν Φέρει.

Zij verwijderen zich. De rei van dienaressen treedt binnen in de orchestra.

ΧΟΡΟΣ

εὐΦαμεῖτ', ὦ
πόντου δισσὰς συγχωρούσας
πέτρας Ἀξείνου ναίοντες.

Zij richten zich naar de tempel.

ὦ παῖ τᾶς Λατοῦς,
Δίκτυνν' οὐρεία,
πρὸς σὰν αὐλάν, εὐστύλων
ναῶν χρυσήρεις θριγκούς,
πόδα παρθένιον ὅσιον ὁσίας
κληδούχου δούλα πέμπω,
Ἑλλάδος εὐίππου πύργους
καὶ τείχη, χόρτων τ' εὐδένδρων
ἐξαλλάξασ' Εὐρώπαν,
πατρῴων οἴκων ἕδρας....

Iphigenia treedt naar buiten, begeleid door
een dienares die een plengkruik draagt.

ἔμολον· τί νέον; τίνα Φροντίδ' ἔχεις;
τί με πρὸς ναοὺς ἄγαγες ἄγαγες,
ὦ παῖ τοῦ τᾶς Τροίας πύργους
ἐλθόντος κλεινᾷ σὺν κώπᾳ,
χιλιοναύτᾳ μυριοτευχεῖ τ'
ἀμΦ' Ἀτρειδᾶν τῶν κλεινῶν;

ΙΦ. ἰὼ δμωαί,
δυσθρηνήτοις ὡς θρήνοις
ἔγκειμαι, τᾶς οὐκ εὐμούσου
μολπαῖσι βοᾶς, ἀλύροις ἐλέγοις,
ἔ ἔ, ἐν κηδείοις οἴκτοις,
οἴμοι, συμβαίνουσ' ἄτᾳ,
σύγγονον ἁμὸν κατακλαιομένα
ζωᾶς, οἵαν οἵαν ἰδόμαν
ὄψιν ὀνείρων
νυκτός, τᾶς ἐξῆλθ' ὄρΦνα....
ὀλόμαν ὀλόμαν·
οὐκ εἴσ' οἶκοι πατρῷοι·
οἴμοι μοι Φροῦδος γέννα.
Φεῦ Φεῦ τῶν Ἄργει μόχθων.
ἰὼ ἰὼ δαίμων, ὃς τὸν
μοῦνόν με κασίγνητον συλᾷς
Ἅιδᾳ πέμψας, ᾧ τάσδε χοὰς
μέλλω κρατῆρά τε τὸν Φθιμένων
ὑδραίνειν γαίας ἐν νώτοις,
πηγάς τ' οὐρείων ἐκ μόσχων
Βάκχου τ' οἰνηρὰς λοιβὰς
ξουθᾶν τε πόνημα μελισσᾶν,

ἃ νεκροῖς θελκτήρια κεῖται.
ἀλλ' ἔνδος μοι πάγχρυσον
τεῦχος καὶ λοιβὰν Ἅιδα.

Zij neemt de kruik over en plengt.

ὦ κατὰ γαίας Ἀγαμεμνόνιον
θάλος, ὡς Φθιμένῳ τάδε σοι πέμπω,
δέξαι δ'· οὐ γὰρ πρὸς τύμβον σοι
ξανθὰν χαίταν, οὐ δάκρυ' οἴσω.
τηλόσε γὰρ δὴ σᾶς ἀπενάσθην
πατρίδος καὶ ἐμᾶς, ἔνθα δοκήμασι
κεῖμαι σΦαχθεῖσ' ἁ τλάμων.

ΧΟ. ἀντιψάλμους ᾠδὰς ὕμνων τ'
Ἀσιητᾶν σοι βάρβαρον ἀχὰν
δεσποίνᾳ γ' ἐξαυδάσω,
τὰν ἐν θρήνοισιν μοῦσαν,
νέκυσι μελομέναν, τὰν ἐν μολπαῖς
Ἅιδας ὑμνεῖ δίχα παιάνων.
οἴμοι, τῶν Ἀτρειδᾶν οἴκων
ἔρρει Φῶς σκήπτρων, οἴμοι,
πατρῴων οἴκων τιμά,
κἀκ τῶν εὐόλβων Ἄργει
βασιλέων ἀρχά.
μόχθος δ' ἐκ μόχθων ἄσσει

* * * * * * * * * *
* * * * * * * * * *

δινευούσαις ἵπποις πταναῖς·
ἀλλάξας δ' ἐξείλιξ' ἕδρας
ἱερᾶν ὄμμ' αὐγᾶν
Ἅλιος. ἄλλαις δ' ἄλλα προσέβα

χρυσέας ἀρνὸς μελάθροις ὀδύνα,
φόνος ἐπὶ φόνῳ, ἄχεά τ' ἄχεσιν....
ἔνθεν τῶν πρόσθεν δμαθέντων
Ταυταλιδᾶν ἐκβαίνει ποινά γ'
εἰς οἴκους, σπεύδει δ' ἀσπούδαστ'
ἐπὶ σοὶ δαίμων.

ΙΦ. ἐξ ἀρχᾶς μοι δυσδαίμων
δαίμων τᾶς ματρὸς ζώνας
καὶ νυκτὸς κείνας· ἐξ ἀρχᾶς
λόχιαι στερρὰν παιδείαν
Μοῖραι ξυντείνουσιν θεαί,
τὰν πρωτόγονον θάλος ἐν θαλάμοις
ἁ μναστευθεῖσ' ἐξ Ἑλλάνων,
Λήδας ἁ τλάμων κούρα,
σφάγιον πατρῴᾳ λώβᾳ
καὶ θῦμ' οὐκ εὐγάθητον
ἔτεκεν, ἔτρεφεν· εὐκταίαν δ'
ἱππείοις ἐν δίφροισιν
ψαμάθων Αὐλίδος ἐπέβασαν,
νύμφευμ' οἴμοι, δύσνυμφον
τῷ τᾶς Νηρέως κούρας, αἰαῖ.
νῦν δ' ἀξείνου πόντου ξείνα
δυσχόρτους οἴκους ναίω,
ἄγαμος ἄτεκνος, ἄπολις ἄφιλος,
οὐ τὰν Ἄργει μέλπουσ' Ἥραν
οὐδ' ἱστοῖς ἐν καλλιφθόγγοις
κερκίδι Παλλάδος Ἀθίδος εἰκὼ
καὶ Τιτάνων ποικίλλουσ', ἀλλ'
αἱμόρραντον δυσφόρμιγγα
ξείνων μάσσουσ' ἄταν βωμοῖς,

οἰκτράν τ' αἰαζόντων αὐδάν,
οἰκτρόν τ' ἐκβαλλόντων δάκρυον.
καὶ νῦν κείνων μέν μοι λάθα,
τὸν δ' Ἄργει δμαθέντα κλαίω
σύγγονον, ὃν ἔλιπον ἐπιμαστίδιον,
ἔτι βρέφος, ἔτι νέον, ἔτι θάλος
ἐν χερσὶν ματρὸς πρὸς στέρνοις τ' —
Ἄργει σκηπτοῦχον Ὀρέσταν.

Aangekondigd door het koor, bij monde van de koorleidster, verschijnt weldra van rechts een herder.

ΧΟ. καὶ μὴν ὅδ' ἀκτὰς ἐκλιπὼν θαλασσίους
βουφορβὸς ἥκει, σημανῶν τί σοι νέον.

ΒΟΥΚΟΛΟΣ

Ἀγαμέμνονός τε καὶ Κλυταιμνήστρας τέκνον,
ἄκουε καινῶν ἐξ ἐμοῦ κηρυγμάτων.
ΙΦ. τί δ' ἔστι τοῦ παρόντος ἐκπλῆσσον λόγου;
ΒΟ. ἥκουσιν ἐς γῆν, κυανέαν Συμπληγάδα
πλάτῃ φυγόντες, δίπτυχοι νεανίαι,
θεᾷ φίλον πρόσφαγμα καὶ θυτήριον
Ἀρτέμιδι. χέρνιβας δὲ καὶ κατάργματα
οὐκ ἂν φθάνοις ἂν εὐτρεπῆ ποιουμένη.
ΙΦ. ποδαποί; τίνος γῆς σχῆμ' ἔχουσιν οἱ ξένοι;
ΒΟ. Ἕλληνες· ἓν τοῦτ' οἶδα κοὐ περαιτέρω.
ΙΦ. οὐδ' ὄνομ' ἀκούσας οἶσθα τῶν ξένων φράσαι;
ΒΟ. Πυλάδης ἐκλῄζεθ' ἄτερος πρὸς θατέρου.
ΙΦ. τοῦ ξυζύγου δὲ τοῦ ξένου τί τοὔνομ' ἦν;
ΒΟ. οὐδεὶς τόδ' οἶδεν· οὐ γὰρ εἰσηκούσαμεν.
ΙΦ. πῶς δ' εἶδετ' αὐτοὺς κἀντυχόντες εἵλετε;
ΒΟ. ἄκραις ἐπὶ ῥηγμῖσιν ἀξένου πόρου....

ΙΦ. καὶ τίς θαλάσσης βουκόλοις κοινωνία;
ΒΟ. βοῦς ἤλθομεν νίψοντες ἐναλίᾳ δρόσῳ.
ΙΦ. ἐκεῖσε δὴ 'πάνελθε, πῶς νιν εἵλετε
τρόπῳ θ' ὁποίῳ· τοῦτο γὰρ μαθεῖν θέλω.
χρόνιοι γὰρ ἥκουσ' οἵδ', ἐπεὶ βωμὸς θεᾶς
Ἑλληνικαῖσιν ἐξεφοινίχθη ῥοαῖς.

ΒΟ. ἐπεὶ τὸν ἐσρέοντα διὰ Συμπληγάδων
βοῦς ὑλοφορβοὺς πόντον εἰσεβάλλομεν,
ἤν τις διαρρὼξ κυμάτων πολλῷ σάλῳ
κοιλωπὸς ἀγμός, πορφυρευτικαὶ στέγαι.
ἐνταῦθα δισσοὺς εἶδέ τις νεανίας
βουφορβὸς ἡμῶν, κἀπεχώρησεν πάλιν
ἄκροισι δακτύλοισι πορθμεύων ἴχνος.
ἔλεξε δ'· „οὐχ ὁρᾶτε; δαίμονές τινες
θάσσουσιν οἵδε". θεσσεβὴς δ' ἡμῶν τις ὢν
ἀνέσχε χεῖρα καὶ προσηύξατ' εἰσιδών·
„ὦ ποντίας παῖ Λευκοθέας, νεῶν φύλαξ,
δέσποτα Παλαῖμον, ἵλεως ἡμῖν γενοῦ·
εἴτ' οὖν ἐπ' ἀκταῖς θάσσετον Διοσκόρω,
ἢ Νηρέως ἀγάλμαθ', ὃς τὸν εὐγενῆ
ἔτικτε πεντήκοντα Νηρήδων χορόν".
ἄλλος δέ τις μάταιος, ἀνομίᾳ θρασύς,
ἐγέλασεν εὐχαῖς, ναυτίλους δ' ἐφθαρμένους
θάσσειν φάραγγ' ἔφασκε τοῦ νόμου φόβῳ,
κλύοντας ὡς θύοιμεν ἐνθάδε ξένους.
ἔδοξε δ' ἡμῶν εὖ λέγειν τοῖς πλείοσι,
θηρᾶν τε τῇ θεῷ σφάγια τἀπιχώρια.
κἀν τῷδε πέτραν ἄτερος λιπὼν ξένοιν
ἔστη κάρα τε διετίναξ' ἄνω κάτω
κἀπεστέναξεν ὠλένας τρέμων ἄκρας,

μανίαις ἀλαίνων, καὶ βοᾷ· „κυναγὸν ὥς,
Πυλάδη, δέδορκας τήνδε; — τήνδε δ' οὐχ ὁρᾷς
Ἅιδου δράκαιναν, ὥς με βούλεται κτανεῖν,
δειναῖς ἐχίδναις εἰς ἔμ' ἐστομωμένη;
ἡ δ' ἔκχυτ' ὠμὸν πῦρ πνέουσα καὶ φόνον
πτεροῖς ἐρέσσει, μητέρ' ἀγκάλαις ἐμὴν
ἔχουσα — πέτρινον ὄχθον, ὡς ἐπεμβάλῃ.
οἴμοι, κτενεῖ με· ποῖ φύγω"; — παρὴν δ' ὁρᾶν
οὐ ταὐτὰ μορφῆς σχήματ', ἀλλ' ἠλλάσσετο,
φθογγάς τε μόσχων καὶ κυνῶν ὑλάγματα,
ὡς φᾶσ' Ἐρινῦς ἱέναι μιμήματα.
ἡμεῖς δὲ, συσταλέντες ὡς θανούμενοι,
σιγῇ καθήμεθ'· ὁ δὲ περισπάσας ξίφος,
μόσχους ὀρούσας ἐς μέσας λέων ὅπως,
παίει σιδήρῳ λαγόνας ἐς πλευρὰς θ' ἱείς,
δοκῶν Ἐρινῦς θεὰς ἀμύνεσθαι τάδε,
ὡς αἱματηρὸν πέλαγος ἐξανθεῖν ἁλός.
κἀν τῷδε πᾶς τις — ὡς ὁρᾷ βουφόρβια
πίπτοντα καὶ πορθούμεν' — ἐξωπλίζετο,
κόχλους τε φυσῶν συλλέγων τ' ἐγχωρίους·
πρὸς εὐτραφεῖς γὰρ καὶ νεανίας ξένους
φαύλους μάχεσθαι βουκόλους ἡγούμεθα.
πολλοὶ δ' ἐπληρώθημεν οὐ μακρῷ χρόνῳ.
πίπτει δὲ μανίας πίτυλον ὁ ξένος μεθείς,
στάζων ἀφρῷ γένειον· ὡς δ' ἐσείδομεν
προύργου πεσόντα, πᾶς ἀνὴρ ἔσχεν πόνον,
βάλλων ἀράσσων· ἄτερος δὲ τοῖν ξένοιν
ἀφρόν τ' ἀπέψα σώματός τ' ἐτημέλει,
πέπλων τε προυκάλυπτεν εὐπήκτους ὑφάς,
καραδοκῶν μὲν τἀπιόντα τραύματα,

φίλον δὲ θεραπείαισιν ἄνδρ' εὐεργετῶν.
315 ἔμφρων δ' ἀνᾴξας ὁ ξένος πεσήματος
ἔγνω κλύδωνα πολεμίων προσκείμενον,
καὶ τὴν παροῦσαν συμφορὰν αὐτοῖν πέλας·
ὤμωξέ θ'· ἡμεῖς δ' οὐκ ἀνίεμεν πέτροις
βάλλοντες, ἄλλος ἄλλοθεν προσκείμενοι.
320 οὗ δὴ τὸ δεινὸν παρακέλευσμ' ἠκούσαμεν·
„Πυλάδη, θανούμεθ', ἀλλ' ὅπως θανούμεθα
κάλλιστ' — ἔπου μοι, φάσγανον σπάσας χερί"
ὡς δ' εἴδομεν δίπαλτα πολεμίων ξίφη,
φυγῇ λεπαίας ἐξεπίμπλαμεν νάπας.
325 ἀλλ' εἰ φύγοι τις, ἄτεροι προσκείμενοι
ἔβαλλον αὐτούς· εἰ δὲ τούσδ' ὠσαίατο,
αὖθις τὸ νῦν ὑπεῖκον ἤρασσεν πέτροις.
ἀλλ' ἦν ἄπιστον: μυρίων γὰρ ἐκ χερῶν
οὐδεὶς τὰ τῆς θεοῦ θύματ' ηὐτύχει βαλών.
330 μόλις δέ νιν τόλμῃ μὲν οὐ χειρούμεθα,
κύκλῳ δὲ περιβάλλοντες ἐξεκλέψαμεν
πέτροισι χειρῶν φάσγαν'· ἐς δὲ γῆν γόνυ
καμάτῳ καθεῖσαν. — πρὸς δ' ἄνακτα τῆσδε γῆς
κομίζομέν νιν· ὃ δ' ἐσιδὼν ὅσον τάχος
335 ἐς χέρνιβάς τε καὶ σφαγεῖ' ἔπεμπέ σοι.
εὔχου δὲ τοιάδ', ὦ νεᾶνί, σοι ξένων
σφάγια παρεῖναι· κἂν ἀναλίσκῃς ξένους
τοιούσδε, τὸν σὸν Ἑλλὰς ἀποτίσει φόνον
δίκας τίνουσα τῆς ἐν Αὐλίδι σφαγῆς.
340 ΧΟ. θαυμάστ' ἔλεξας τὼ φανένθ', ὅστις ποτὲ
Ἕλληνος ἐκ γῆς πόντον ἦλθεν ἄξενον.
ΙΦ. εἶεν. — σὺ μὲν κόμιζε τοὺς ξένους μολών·
τὰ δ' ἐνθάδ' ἡμεῖς οἷα φροντιούμεθα....

De herder af.

ὦ καρδία τάλαινα, πρὶν μὲν ἐς ξένους
γαληνὸς ἦσθα καὶ φιλοικτίρμων ἀεί, 345
ἐς θοὐμόφυλον ἀναμετρουμένη δάκρυ,
Ἕλληνας ἄνδρας ἡνίκ' ἐς χέρας λάβοις.
νῦν δ' ἐξ ὀνείρων οἷσιν ἠγριώμεθα,
δοκοῦσ' Ὀρέστην μηκέθ' ἥλιον βλέπειν,
δύσνουν με λήψεσθ', οἵτινές ποθ' ἥκετε. 350
καὶ τοῦτ' ἄρ' ἦν ἀληθές, ἠσθόμην, φίλαι·
οἱ δυστυχεῖς γὰρ τοῖσι μὴ εὐτυχεστέροις,
αὐτοὶ κακῶς πράξαντες, οὐ φρονοῦσιν εὖ....
ἀλλ' οὔτε πνεῦμα Διόθεν ἦλθε πώποτε,
οὐ πορθμίς, ἥτις διὰ πέτρας Συμπληγάδας 355
Ἑλένην ἀπήγαγ' ἐνθάδ', ἥ μ' ἀπώλεσεν,
Μενέλεών θ', ἵν' αὐτοὺς ἀντετιμωρησάμην,
τὴν ἐνθάδ' Αὖλιν ἀντιθεῖσα τῆς ἐκεῖ,
οὗ μ' ὥστε μόσχον Δαναΐδαι χειρούμενοι
ἔσφαζον — ἱερεὺς δ' ἦν ὁ γεννήσας πατήρ. 360
οἴμοι· κακῶν γὰρ τῶν τότ' οὐκ ἀμνημονῶ·
ὅσας γενείου χεῖρας ἐξηκόντισα
γονάτων τε τοῦ τεκόντος, ἐξαρτωμένη,
λέγουσα τοιάδ'· „ὦ πάτερ, νυμφεύομαι
νυμφεύματ' αἰσχρὰ πρὸς σέθεν· μήτηρ δ' ἐμὲ 365
σέθεν κατακτείνοντος Ἀργεῖαί τε νῦν
ὑμνοῦσιν ὑμεναίοισιν· αὐλεῖται δὲ πᾶν
μέλαθρον· ἡμεῖς δ' ὀλλύμεσθα πρὸς σέθεν....
Ἅιδης Ἀχιλλεὺς ἦν ἄρ', οὐχ ὁ Πηλέως·
ὅν μοι προσείσας πόσιν, ἐν ἁρμάτων ὄχοις 370
ἐς αἱματηρὸν γάμον ἐπόρθμευσας δόλῳ".
ἐγὼ δὲ λεπτῶν ὄμμα διὰ καλυμμάτων

ἔχουσ', ἀδελφόν τ' οὐκ ἀνειλόμην χεροῖν,
ὃς νῦν ὄλωλεν, οὐ κασιγνήτῃ στόμα
375 συνῆψ' — ὑπ' αἰδοῦς, ὡς ἰοῦσ' ἐς Πηλέως
μέλαθρα· πολλὰ δ' ἀπεθέμην ἀσπάσματα
ἐς αὖθις, ὡς ἥξουσ' ἐς Ἄργος αὖ πάλιν.
ὦ τλῆμον, εἰ τέθνηκας· ἐξ οἵων καλῶν
ἔρρεις, Ὀρέστα, καὶ πατρὸς ζηλωμάτων....
380 τὰ τῆς θεοῦ δὲ μέμφομαι σοφίσματα·
ἥτις βροτῶν μὲν ἥν τις ἅψηται φόνου,
ἢ καὶ λοχείας ἢ νεκροῦ θίγῃ χεροῖν,
βωμῶν ἀπείργει, μυσαρὸν ὡς ἡγουμένη,
αὐτὴ δὲ θυσίαις ἥδεται βροτοκτόνοις. —
385 οὐκ ἔσθ', ὅπως ἔτεκεν ἂν ἡ Διὸς δάμαρ
Λητὼ τοσαύτην ἀμαθίαν. ἐγὼ μὲν οὖν
τὰ Ταντάλου θεοῖσιν ἑστιάματα
ἄπιστα κρίνω, παιδὸς ἡσθῆναι βορᾷ,
τοὺς δ' ἐνθάδ', αὐτοὺς ὄντας ἀνθρωποκτόνους,
390 ἐς τὴν θεὸν τὸ φαῦλον ἀναφέρειν δοκῶ·
οὐδένα γὰρ οἶμαι δαιμόνων εἶναι κακόν.

Iphigenia blijft wachten.

Str. ΧΟ. κυάνεαι κυάνεαι σύνοδοι θαλάσσας,
ἵν' οἶστρος ὁ ποτώμενος Ἀργόθεν
395 ἄξενον ἐπ' οἶδμα διεπέρασε νεᾶνιν,
Ἀσιήτιδα γαῖαν
Εὐρώπας διαμείψας.
τίνες ποτ' ἄρα, τὸν εὔυδρον δονακόχλοα
400 λιπόντες Εὐρώταν
ἢ ῥεύματα σεμνὰ Δίρκας,
ἔβασαν ἔβασαν ἄμικτον αἶαν, ἔνθα κούρᾳ
Δίᾳ τέγγει
405 βωμοὺς καὶ περικίονας
ναοὺς αἷμα βρότειον;

ἢ ῥοθίοις εἰλατίνοιν δικρότοισι κώπαιν Ant.
ἔπλευσαν ἐπὶ πόντια κύματα
νάιον ὄχημα λινοπόροισιν αὔραις, 410
φιλόπλουτον ἅμιλλαν
αὔξοντες μελάθροισιν;
φίλα γὰρ ἐλπίς γ', ἐπί τε πήμασιν βροτῶν
ἄπληστος ἀνθρώποις, 415
ὄλβου βάρος οἳ φέρονται
πλάνητες ἐπ' οἶδμα πόλεις τε βαρβάρους περῶντες,
κοινᾷ δόξᾳ.
γνώμα δ' οἷς μὲν ἄκαιρος ὄλ-
βου, τοῖς δ' εὖ μέσον ἥκει. 420

πῶς πέτρας τὰς συνδρομάδας, Str.
πῶς Φινεΐδᾶν ἀύπνους
ἀκτὰς ἐπέρασαν,
παρ' ἅλιον αἰγιαλὸν ἐπ' Ἀμφιτρίτας 425
ῥοθίῳ δραμόντες·
ὅπου πεντήκοντα κορᾶν
Νηρήδων χερσὶ χοροὶ
μέλπουσιν ἐγκυκλίοις;
πᾶ, πλησιστίοισι πνοαῖς, 430
συριζόντων κατὰ πρύμναν
εὐναίων πηδαλίων,
αὔραις σὺν νοτίαις
ἢ πνεύμασι Ζεφύρου,
τὰν πολυόρνιθον ἐπ' αἶαν· 435
λευκὰν ἀκτάν, Ἀχιλῆος
δρόμους καλλισταδίους,
ἄξεινον κατὰ πόντον;

Ant. εἴθ' εὐχαῖσιν δεσποσύνοις
440 Λήδας Ἑλένα φίλα παῖς
ἐλθοῦσα τύχοι τὰν
Τρῳάδα λιποῦσα πόλιν, ἵν' ἀμφὶ χαίτᾳ
δρόσον αἱματηρὰν
ἐλιχθεῖσα λαιμοτόμῳ
445 δεσποίνας χειρὶ θάνοι
ποινὰς δοῦσ' ἀντιπάλους.
ἀδίσταν δ' ἂν ἀγγελίαν
δεξαίμεσθ', Ἑλλάδος ἐκ γᾶς
πλωτήρων εἴ τις ἔβα,
450 δουλείας ἐμέθεν
δειλαίας παυσίπονος·
κἂν γὰρ ὀνείροις ἴσα βαίην
δόμοις πόλει τε πατρῴᾳ
τερπνῶν ὕμνων ἀπολαύ-
455 ειν, κοινὰν χάριν ὄλβου.

Orestes en Pylades worden opgebracht, geboeid.

ἀλλ' οἵδε χέρας δεσμοῖς δίδυμοι
συνερεισθέντες χωροῦσι, νέον
προσφαγμα θεᾶς· σιγᾶτε, φίλαι.
τὰ γὰρ Ἑλλήνων ἀκροθίνια δὴ
460 ναοῖσι πέλας τάδε βαίνει·
οὐδ' ἀγγελίας ψευδεῖς ἔλακεν
βουφορβὸς ἀνήρ.

ὦ πότνι', εἴ σοι τάδ' ἀρεσκόντως
πόλις ἥδε τελεῖ, δέξαι θυσίας,
465 ἃς ὁ παρ' ἡμῖν νόμος οὐχ ὅσιος
βωμοῖσι διδοὺς ἀναφαίνει.

De gevangenen staan bij het altaar.

ΙΦ. εἶεν·
τὰ τῆς θεοῦ μὲν πρῶτον ὡς καλῶς ἔχῃ
φροντιστέον μοι. — μέθετε τῶν ξένων χέρας,
ὡς ὄντες ἱεροὶ μηκέτ' ὦσι δέσμιοι.
ναοῦ δ' ἔσω στείχοντες εὐτρεπίζετε 470
ἃ χρὴ 'πὶ τοῖς παροῦσι καὶ νομίζεται.

De Taurische wachters gaan binnen in de tempel.

φεῦ·
τίς ἄρα μήτηρ ἡ τεκοῦσ' ὑμᾶς ποτε
πατήρ τ'; ἀδελφή τ', εἰ γεγῶσα τυγχάνει;
οἵων στερεῖσα διπτύχων νεανιῶν
ἀνάδελφος ἔσται. τὰς τύχας τίς οἶδ' ὅτῳ 475
τοιαῖδ' ἔσονται; — πάντα γὰρ τὰ τῶν θεῶν
ἐς ἀφανὲς ἕρπει κοὐδὲν οἶδ' οὐδεὶς παρόν·
ἡ γὰρ τύχη παρήγαγ' ἐς τὸ δυσμαθές.
πόθεν ποθ' ἥκετ', ὦ ταλαίπωροι ξένοι;
ὡς διὰ μακροῦ μὲν τήνδ' ἐπλεύσατε χθόνα, 480
μακρὸν δ' ἀπ' οἴκων χρόνον ἔσεσθ', ἀεὶ κάτω....

ΟΡ. τί ταῦτ' ὀδύρῃ, κἀπὶ τοῖς μέλλουσι νῷν
κακοῖσι λυπεῖς, ἥτις εἶ ποτ', ὦ γύναι;
οὗτοι νομίζω σοφόν, ὃς ἂν μέλλων θανεῖν
ὄγκῳ τὸ δεῖμα τοὐλέθρου νικᾶν θέλῃ, 485
οὐδ' ὅστις Ἅιδην ἐγγὺς ὄντ' οἰκτίζεται,
σωτηρίας ἄνελπις· ὡς δύ' ἐξ ἑνὸς
κακὼ συνάπτει· μωρίαν τ' ὀφλισκάνει
θνήσκει θ' ὁμοίως· τὴν τύχην δ' ἐᾶν χρεών.
ἡμᾶς δὲ μὴ θρήνει σύ· τὰς γὰρ ἐνθάδε 490
θυσίας ἐπιστάμεσθα καὶ γιγνώσκομεν.

ΙΦ. πότερος ἄρ' ὑμῶν, ἐνθάδ' ὠνομασμένος,
Πυλάδης κέκληται; τόδε μαθεῖν πρῶτον θέλω.
ΟΡ. ὅδ', εἴ τι δή σοι τοῦτ' ἐν ἡδονῇ μαθεῖν.
ΙΦ. ποίας πολίτης πατρίδος Ἕλληνος γεγώς;
ΟΡ. τί δ' ἂν μαθοῦσα τόδε πλέον λάβοις, γύναι;
ΙΦ. πότερον ἀδελφὼ μητρός ἐστον ἐκ μιᾶς;
ΟΡ. φιλότητί γ'· ἐσμὲν δ' οὐ κασιγνήτω γένει.
ΙΦ. σοὶ δ' ὄνομα ποῖον ἔθεθ' ὁ γεννήσας πατήρ;
ΟΡ. τὸ μὲν δίκαιον Δυστυχὴς καλοίμεθ' ἄν.
ΙΦ. οὐ τοῦτ' ἐρωτῶ· τοῦτο μὲν δὸς τῇ τύχῃ.
ΟΡ. ἀνώνυμοι θανόντες, οὐ λεγοίμεθ' ἄν.
ΙΦ. τί δὲ φθονεῖς τοῦτ'; ἢ φρονεῖς οὕτω μέγα;
ΟΡ. τὸ σῶμα θύσεις τοὐμόν, οὐχὶ τοὔνομα.
ΙΦ. οὐδ' ἂν πόλιν φράσειας ἥτις ἐστί σοι;
ΟΡ. ζητεῖς γὰρ οὐδὲν κέρδος, ὡς θανουμένῳ.
ΙΦ. χάριν δὲ δοῦναι τήνδε κωλύει τί σε;
ΟΡ. τὸ κλεινὸν Ἄργος πατρίδ' ἐμὴν ἐπεύχομαι.
ΙΦ. πρὸς θεῶν ἀληθῶς, ὦ ξέν', εἶ κεῖθεν γεγώς;
ΟΡ. ἐκ τῶν Μυκηνῶν γ' — αἵ ποτ' ἦσαν ὄλβιαι.
ΙΦ. φυγὰς δ' ἀπῆρας πατρίδος, ἢ ποίᾳ τύχῃ;
ΟΡ. φεύγω, τρόπον γε δή τιν' οὐχ ἑκὼν ἑκών.
ΙΦ. ἆρ' ἄν τί μοι φράσειας ὧν ἐγὼ θέλω;
ΟΡ. ὡς ἐν παρέργῳ τῆς ἐμῆς δυσπραξίας.
ΙΦ. καὶ μὴν ποθεινός γ' ἦλθες ἐξ Ἄργους μολών.
ΟΡ. οὔκουν ἐμαυτῷ γ'· εἰ δὲ σοί, σὺ τοῦτ' ἔρα.
ΙΦ. Τροίαν ἴσως οἶσθ', ἧς ἀπανταχοῦ λόγος.
ΟΡ. ὡς μήποτ' ὤφελόν γε, μηδ' ἰδὼν ὄναρ.
ΙΦ. φασίν νιν οὐκέτ' οὖσαν οἴχεσθαι δορί.
ΟΡ. ἔστιν γὰρ οὕτως, οὐδ' ἄκραντ' ἠκούσατε.
ΙΦ. Ἑλένη δ' ἀφῖκται κτῆμα Μενέλεω πάλιν;

ΟΡ. ἥκει, κακῶς γ' ἐλθοῦσα τῶν ἐμῶν τινι.
ΙΦ. καὶ ποῦ 'στι; κἀμοὶ γάρ τι προυφείλει κακόν.
ΟΡ. Σπάρτῃ ξυνοικεῖ τῷ πάρος ξυνευνέτῃ.
ΙΦ. ὦ — μῖσος εἰς Ἕλληνας, οὐκ ἐμοὶ μόνῃ.
ΟΡ. ἀπέλαυσα κἀγὼ δή τι τῶν κείνης γάμων.
ΙΦ. νόστος δ' Ἀχαιῶν ἐγένετ', ὡς κηρύσσεται;
ΟΡ. ὡς πάντ' ἄπαξ με συλλαβοῦσ' ἀνιστορεῖς.
ΙΦ. πρὶν γὰρ θανεῖν σε, τοῦδ' ἐπαυρέσθαι θέλω.
ΟΡ. ἔλεγχ', ἐπειδὴ τοῦδ' ἐρᾷς· λέξω δ' ἐγώ.
ΙΦ. Κάλχας τις ἦλθε μάντις ἐκ Τροίας πάλιν;
ΟΡ. ὤλωλεν, ὡς γ' ἦν ἐν Μυκηναίοις λόγος.
ΙΦ. ὦ πότνι', ὡς εὖ. — τί γὰρ ὁ Λαέρτου γόνος;
ΟΡ. οὔπω νενόστηκ' οἶκον· ἔστι δ', ὡς λόγος.
ΙΦ. ὄλοιτο, νόστου μήποτ' ἐς πάτραν τυχών.
ΟΡ. μηδὲν κατεύχου· πάντα τἀκείνου νοσεῖ.
ΙΦ. Θέτιδος δ' ὁ τῆς Νηρῇδος ἔστι παῖς ἔτι;
ΟΡ. οὐκ ἔστιν ἄλλ' ὃς λέκτρ' ἔγημ' ἐν Αὐλίδι.
ΙΦ. δόλια γάρ, ὡς ἴσασιν οἱ πεπονθότες.
ΟΡ. τίς εἶ ποθ'; ὡς εὖ πυνθάνῃ τἀφ' Ἑλλάδος.
ΙΦ. ἐκεῖθέν εἰμι· παῖς ἔτ' οὖσ' ἀπωλόμην.
ΟΡ. ὀρθῶς ποθεῖς ἄρ' εἰδέναι τἀκεῖ, γύναι.
ΙΦ. τί δ' ὁ στρατηγός, ὃν λέγουσ' εὐδαιμονεῖν;
ΟΡ. τίς; οὐ γὰρ ὅν γ' ἐγῷδα τῶν εὐδαιμόνων.
ΙΦ. Ἀτρέως ἐλέγετο δή τις Ἀγαμέμνων ἄναξ.
ΟΡ. οὐκ οἶδ'. ἄπελθε τοῦ λόγου τούτου, γύναι.
ΙΦ. μὴ πρὸς θεῶν· ἀλλ' εἴφ', ἵν' εὐφρανθῶ, ξένε.
ΟΡ. τέθνηκ' ὁ τλήμων, πρὸς δ' ἀπώλεσέν τινα.
ΙΦ. τέθνηκε; ποίᾳ συμφορᾷ; — τάλαιν' ἐγώ.
ΟΡ. τί δ' ἐστέναξας τοῦτο; μῶν προσῆκέ σοι;
ΙΦ. τὸν ὄλβον αὐτοῦ τὸν πάροιθ' ἀναστένω.

ΟΡ. δεινῶς γὰρ ἐκ γυναικὸς οἴχεται σφαγείς.
ΙΦ. ὦ παυδάκρυτος — ἡ κτανοῦσα χὠ θανών.
ΟΡ. παῦσαί νυν ἤδη μηδ' ἐρωτήσῃς πέρα.
555 ΙΦ. τοσόνδε γ', εἰ ζῇ τοῦ ταλαιπώρου δάμαρ.
ΟΡ. οὐκ ἔστι· παῖς νιν ὃν ἔτεχ', οὗτος ὤλεσεν.
ΙΦ. ὦ συνταραχθεὶς οἶκος. — ὡς τί δὴ θέλων;
ΟΡ. πατρὸς θανόντος τήνδε τιμωρούμενος.
ΙΦ. φεῦ·
ὡς εὖ κακὸν δίκαιον εἰσεπράξατο.
560 ΟΡ. ἀλλ' οὐ τὰ πρὸς θεῶν εὐτυχεῖ δίκαιος ὤν.
ΙΦ. λείπει δ' ἐν οἴκοις ἄλλον Ἀγαμέμνων γόνον;
ΟΡ. λέλοιπεν Ἠλέκτραν γε παρθένον μίαν.
ΙΦ. τί δέ; σφαγείσης θυγατρὸς ἔστι τις λόγος;
ΟΡ. οὐδείς γε, πλὴν θανοῦσαν οὐχ ὁρᾶν φάος.
565 ΙΦ. τάλαιν' ἐκείνη χὠ κτανὼν αὐτὴν πατήρ.
ΟΡ. κακῆς γυναικὸς χάριν ἄχαριν ἀπώλετο.
ΙΦ. ὁ τοῦ θανόντος δ' ἔστι παῖς Ἄργει πατρός;
ΟΡ. ἔστ', ἄθλιός γε, κοὐδαμοῦ καὶ πανταχοῦ.
ΙΦ. ψευδεῖς ὄνειροι, χαίρετ'· οὐδὲν ἦτ' ἄρα.

Zij verzinkt in nadenken. Orestes heeft de aandacht van het koor.

570 ΟΡ. οὐδ' οἱ 'σοφοί' γε 'δαίμονες' κεκλημένοι
πτηνῶν ὀνείρων εἰσὶν ἀψευδέστεροι.
πολὺς ταραγμὸς ἔν τε τοῖς θείοις ἔνι
κἀν τοῖς βροτείοις, ἓν δὲ λείπεται μένον·
ὅτ' οὐκ ἄφρων ὢν μάντεων πεισθεὶς λόγοις
575 ὄλωλεν — ὡς ὄλωλε τοῖσιν εἰδόσιν.
ΧΟ. φεῦ φεῦ· τί δ' ἡμεῖς, οἵ τ' ἐμοὶ γεννήτορες;
ἆρ' εἰσίν; ἆρ' οὐκ εἰσί; τίς φράσειεν ἄν;

Iphigenia heft het hoofd op.

ΙΦ. ἀκούσατ'· ἐς γὰρ δή τιν' ἥκομεν λόγον,
ὑμῖν τ' ὄνησιν, ὦ ξένοι, σπεύδουσ' ἅμα
κἀμοί. τὸ δ' εὖ μάλιστά γ' οὕτω γίγνεται, 580
εἰ πᾶσι ταὐτὸν πρᾶγμ' ἀρεσκόντως ἔχει. —
θέλοις ἄν, εἰ σώσαιμί σ', ἀγγεῖλαί τί μοι
πρὸς Ἄργος ἐλθὼν τοῖς ἐμοῖς ἐκεῖ φίλοις,
δέλτον τ' ἐνεγκεῖν, ἥν τις οἰκτείρας ἐμὲ
ἔγραψεν αἰχμάλωτος, οὐχὶ τὴν ἐμὴν 585
φονέα νομίζων χεῖρα, τοῦ νόμου δ' ὕπο
θνῄσκειν — τὰ τῆς θεοῦ τάδε δίκαι' ἡγουμένοις;
οὐδένα γὰρ εἶχον ὅστις Ἀργεῖος μολών,
ἐς Ἄργος αὖθις τὰς ἐμὰς ἐπιστολὰς
πέμψειε σωθεὶς τῶν ἐμῶν φίλων τινί. 590
σὺ δ', εἴ γάρ, ὡς ἔοικας, οὔτε δυσγενὴς
καὶ τὰς Μυκήνας οἶσθα, χοὺς κἀγὼ θέλω,
σώθητί μοι σύ — μισθὸν οὐκ αἰσχρὸν λαβών,
κούφων ἕκατι γραμμάτων σωτηρίαν.
οὗτος δ', ἐπείπερ πόλις ἀναγκάζει τάδε, 595
θεᾷ γενέσθω θῦμα, χωρισθεὶς σέθεν.
ΟΡ. καλῶς ἔλεξας τἄλλα πλὴν ἕν, ὦ ξένη·
τὸ γὰρ σφαγῆναι τόνδε μοι βάρος μέγα.
ὁ ναυστολῶν γάρ εἰμ' ἐγὼ τὰς συμφοράς·
οὗτος δὲ συμπλεῖ τῶν ἐμῶν μόχθων χάριν. 600
οὔκουν δίκαιον ἐπ' ὀλέθρῳ τῷ τοῦδ' ἐμὲ
χάριν τίθεσθαι καὐτὸν ἐκδῦναι κακῶν.
ἀλλ' ὡς γενέσθω· τῷδε μὲν δέλτον δίδου,
πέμψει γὰρ Ἄργος, ὥστε σοι καλῶς ἔχειν·
ἡμᾶς δ' ὁ χρῄζων κτεινέτω. τὰ τῶν φίλων 605
αἴσχιστον ὅστις καταβαλὼν ἐς ξυμφορὰς
αὐτὸς σέσωσται. τυγχάνει δ' ὅδ' ὢν φίλος,

*

ὃν οὐδὲν ἧσσον ἢ 'μὲ φῶς ὁρᾶν θέλω.
ΙΦ. ὦ λῆμ' ἄριστον· ὡς ἀπ' εὐγενοῦς τινος
ῥίζης πέφυκας, τοῖς φίλοις τ' ὀρθῶς φίλος.
τοιοῦτος εἴη τῶν ἐμῶν ὁμοσπόρων
ὅσπερ λέλειπται. καὶ γὰρ οὐδ' ἐγώ, ξένοι,
ἀνάδελφός εἰμι — πλὴν ὅσ' οὐχ ὁρῶσά νιν.
ἐπεὶ δὲ βούλῃ ταῦτα, τόνδε πέμψομεν
δέλτον φέρονται, σὺ δὲ θανεῖ· πολλὴ δέ τις
προθυμία σε τοῦδ' ἔχουσα τυγχάνει.
ΟΡ. θύσει δὲ τίς με καὶ τὰ δεινὰ τλήσεται;
ΙΦ. ἐγώ· θεᾶς γὰρ τήνδε προστροπὴν ἔχω.
ΟΡ. ἄζηλά γ', ὦ νεᾶνι, κοὐκ εὐδαίμονα.
ΙΦ. ἀλλ' εἰς ἀνάγκην κείμεθ', ἣν φυλακτέον.
ΟΡ. αὐτὴ ξίφει θείνουσα θῆλυς ἄρσενας;
ΙΦ. οὔκ· ἀλλὰ χαίτην ἀμφὶ σὴν χερνίψομαι.
ΟΡ. ὁ δὲ σφαγεὺς τίς; εἰ τάδ' ἱστορεῖν με χρή.
ΙΦ. ἔσω δόμων τῶνδ' εἰσίν οἷς μέλει τάδε.
ΟΡ. τάφος δὲ ποῖος δέξεταί μ', ὅταν θάνω;
ΙΦ. πῦρ ἱερὸν ἔνδον χάσμα τ' εὐρωπὸν πέτρας.
ΟΡ. φεῦ·
πῶς ἄν μ' ἀδελφῆς χεὶρ περιστείλειεν ἄν;
ΙΦ. μάταιον εὐχήν, ὦ τάλας, ὅστις ποτ' εἶ,
ηὔξω· μακρὰν γὰρ βαρβάρου ναίει χθονός.
οὐ μήν, ἐπειδὴ τυγχάνεις Ἀργεῖος ὤν,
ἀλλ' ὧν γε δυνατὸν οὐδ' ἐγὼ 'λλείψω χάριν.
πολύν τε γάρ σοι κόσμον ἐνθήσω τάφῳ,
ξανθῷ τ' ἐλαίῳ σῶμα σὸν κατασπερῶ,
καὶ τῆς ὀρείας ἀνθεμόρρυτον γάνος
ξουθῆς μελίσσης ἐς πυρὰν βαλῶ σέθεν.
ἀλλ' εἶμι δέλτον τ' ἐκ θεᾶς ἀνακτόρων
οἴσω· τὸ μέντοι δυσμενὲς μὴ 'μοῦ λάβῃς...

Zij gaat naar de tempel.

φυλάσσετ' αὐτούς, πρόσπολοι, δεσμῶν ἄτερ. —
ἴσως ἄελπτα τῶν ἐμῶν φίλων τινὶ
πέμψω πρὸς Ἄργος, ὃν μάλιστ' ἐγὼ φιλῶ,
καὶ δέλτος αὐτῷ ζῶντας οὓς δοκεῖ θανεῖν
λέγουσα πιστὰς ἡδονὰς ἀπαγγελεῖ.

De bewakers komen uit de tempel. Iphigenia gaat naar binnen.

ΧΟΡ. κατολοφύρομαι σὲ τὸν χερνίβων Str.
ῥανίσιν αἰλίνων
μελόμενον αἱμακταῖς.
ΟΡ. οἶκτος γὰρ οὐ ταῦτ', ἀλλὰ χαίρετ', ὦ ξέναι.
ΧΟΡ. σὲ δέ, τύχας σὲ μάκαρος, ὦ νεανία, Ant.
σεβόμεθ', ἐς πάτραν
ὅτι ποτ' ἐπεμβάσει.
ΠΥΛ. ἄζηλά τοι φίλοισι θνησκόντων φίλων.
ΧΟΡ. ὦ σχέτλιοι πομπαί. — Epod.
φεῦ φεῦ· διόλλυσαι. —
αἰαῖ αἰαῖ· πότερος οὐ μέλλων;
ἔτι γὰρ ἀμφίλογα δίδυμα μέμονε φρήν,
σὲ πάρος ἢ σ' ἀναστενάξω γόοις.

ΟΡ. Πυλάδη· πέπονθας ταὐτό, πρὸς θεῶν, ἐμοί;
ΠΥ. οὐκ οἶδ'· ἐρωτᾷς οὐ λέγειν ἔχοντά με.
ΟΡ. τίς ἐστὶν ἡ νεᾶνις; — ὡς Ἑλληνικῶς
ἀνήρεθ' ἡμᾶς τούς τ' ἐν Ἰλίῳ πόνους
νόστον τ' Ἀχαιῶν, τόν τ' ἐν οἰωνοῖς σοφὸν
Κάλχαντ' Ἀχιλλέως τ' ὄνομα· καὶ τὸν ἄθλιον
Ἀγαμέμνον' ὡς ᾤκτιρ' ἀνηρώτα τέ με
γυναῖκα παῖδάς τ'· — ἔστιν ἡ ξένη γένος

ἐκεῖθεν, Ἀργεία τις· οὐ γὰρ ἄν ποτε
δέλτον τ' ἔπεμπε καὶ τάδ' ἐξεμάνθανεν,
ὡς κοινὰ πράσσουσ', Ἄργος εἰ πράσσει καλῶς.
ΠΥ. ἔφθης με μικρόν· ταὐτὰ δὲ φθάσας λέγεις,
πλὴν ἕν· τὰ γὰρ τῶν βασιλέων παθήματα
ἴσασι πάντες, ὧν ἐπιστροφή τις ἦν.
ἀτὰρ διῆλθον χἄτερον λόγον τινά.
ΟΡ. τίν'; ἐς τὸ κοινὸν δοὺς ἄμεινον ἂν μάθοις.
ΠΥ. αἰσχρὸν θανόντος σοῦ βλέπειν ἡμᾶς φάος,
κοινῇ τ' ἔπλευσα — δεῖ με καὶ κοινῇ θανεῖν.
καὶ δειλίαν γὰρ καὶ κάκην κεκτήσομαι
Ἄργει τε Φωκέων τ' ἐν πολυπτύχῳ χθονί·
δόξω δὲ τοῖς πολλοῖσι — πολλοὶ γὰρ κακοί —
προδοὺς σεσῶσθαί σ' αὐτὸς εἰς οἴκους μόνος,
ἢ καὶ φονεύσας ἐπὶ νοσοῦσι δώμασι
ῥάψαι μόρον σοι σῆς τυραννίδος χάριν,
ἔγκληρον ὡς δὴ σὴν κασιγνήτην γαμῶν.
ταῦτ' οὖν φοβοῦμαι καὶ δι' αἰσχύνης ἔχω,
κοὐκ ἔσθ' ὅπως οὐ χρὴ συνεκπνεῦσαί μέ σοι
καὶ συσφαγῆναι καὶ πυρωθῆναι δέμας,
φίλον γεγῶτα καὶ φοβούμενον ψόγον.
ΟΡ. εὔφημα φώνει· τἀμὰ δεῖ φέρειν κακά·
ἁπλᾶς δὲ λύπας ἐξόν, οὐκ οἴσω διπλᾶς.
ὃ γὰρ σὺ λυπρὸν κἀπονειδιστον λέγεις,
ταῦτ' ἔστιν ἡμῖν, εἴ σε συμμοχθοῦντ' ἐμοὶ
κτενῶ· τὸ μὲν γὰρ εἰς ἔμ' οὐ κακῶς ἔχει,
πράσσονθ' ἃ πράσσω πρὸς θεῶν, λῦσαι βίον.
σὺ δ' ὀλβιός τ' εἶ καθαρά τ', οὐ νοσοῦντ', ἔχεις
μέλαθρ'· ἐγὼ δὲ δυσσεβῆ καὶ δυστυχῆ.
σωθεὶς δὲ παῖδας ἐξ ἐμῆς ὁμοσπόρου
κτησάμενος, ἣν ἔδωκά σοι δάμαρτ' ἔχειν —

ὄνομά τ' ἐμοῦ γένοιτ' ἄν οὐδ' ἄπαις δόμος
πατρῷος οὑμὸς ἐξαλειφθείη ποτ' ἄν.
ἀλλ' ἕρπε καὶ ζῇ καὶ δόμους οἴκει πατρός.
ὅταν δ' ἐς Ἑλλάδ' ἵππιόν τ' Ἄργος μόλῃς,
πρὸς δεξιᾶς σε τῆσδ' ἐπισκήπτω τάδε·
τύμβον τε χῶσον, κἀπίθες μνημεῖά μοι,
καὶ δάκρυ' ἀδελφὴ καὶ κόμας δότω τάφῳ.
ἄγγελλε δ' ὡς ὄλωλ' ὑπ' Ἀργείας τινὸς
γυναικός, ἀμφὶ βωμὸν ἀγνισθεὶς φόνῳ.
καὶ μὴ προδῷς μου τὴν κασιγνήτην ποτέ,
ἔρημα κἠδη καὶ δόμους ὁρῶν πατρός.
καὶ χαῖρ'· ἐμῶν γὰρ φίλτατόν σ' ηὗρον φίλων,
ὦ συγκυναγὲ καὶ συνεκτραφεὶς ἐμοί,
ὦ πόλλ' ἐνεγκὼν τῶν ἐμῶν ἄχθη κακῶν.
ἡμᾶς δ' ὁ Φοῖβος μάντις ὢν ἐψεύσατο·
τέχνην δὲ θέμενος ὡς προσώταθ' Ἑλλάδος
ἀπήλασ', αἰδοῖ τῶν πάρος μαντευμάτων.
ᾧ πάντ' ἐγὼ δοὺς τἀμὰ καὶ πεισθεὶς λόγοις,
μητέρα κατακτὰς αὐτὸς ἀνταπόλλυμαι.
ΠΥ. ἔσται τάφος σοι, καὶ κασιγνήτης λέχος
οὐκ ἂν προδοίην, ὦ τάλας, ἐπεί σ' ἐγὼ
θανόντα μᾶλλον ἢ βλέπουθ' ἕξω φίλον.
ἀτὰρ τὸ τοῦ θεοῦ σ' οὐ διέφθορέν γε πω
μάντευμα, καίτοι γ' ἐγγὺς ἕστηκας φόνου.
ἀλλ' ἔστιν, ἔστιν ἡ λίαν δυσπραξία
λίαν διδοῦσα μεταβολάς, ὅταν τύχῃ.
ΟΡ. σίγα· τὰ Φοίβου δ' οὐδὲν ὠφελεῖ μ' ἔπη·
γυνὴ γὰρ ἥδε δωμάτων ἔξω περᾷ.

Iphigenia verschijnt weer.

ΙΦ. ἀπέλθεθ' ὑμεῖς καὶ παρευτρεπίζετε

τἄνδον μολόντες τοῖς ἐφεστῶσι σφαγῇ.

De bewakers af. — Zij haalt de brief te voorschijn.

δέλτου μὲν αἵδε πολύθυροι διαπτυχαί,
ξένοι, πάρεισιν· ἃ δ' ἐπὶ τοῖσδε βούλομαι,
ἀκούσατ'· οὐδεὶς αὐτὸς ἐν πόνοις τ' ἀνὴρ
730 ὅταν τε πρὸς τὸ θάρσος ἐκ φόβου πέσῃ.
ἐγὼ δὲ ταρβῶ μὴ ἀπονοστήσας χθονὸς
θῆται παρ' οὐδὲν τὰς ἐμὰς ἐπιστολὰς
ὁ τήνδε μέλλων δέλτον εἰς Ἄργος φέρειν.
ΟΡ. τί δῆτα βούλῃ; τίνος ἀμηχανεῖς πέρι;
735 ΙΦ. ὅρκον δότω μοι τάσδε πορθμεύσειν γραφὰς
πρὸς Ἄργος, οἷσι βούλομαι πέμψαι φίλων.
ΟΡ. ἦ κἀντιδώσεις τῷδε τοὺς αὐτοὺς λόγους;
ΙΦ. τί χρῆμα δράσειν, ἢ τί μὴ δράσειν; λέγε.
ΟΡ. ἐκ γῆς ἀφήσειν μὴ θανόντα βαρβάρου.
740 ΙΦ. δίκαιον εἶπας· πῶς γὰρ ἀγγείλειεν ἄν;
ΟΡ. ἦ καὶ τύραννος ταῦτα συγχωρήσεται;
ΙΦ. ναί·
πείσω σφε, καὐτὴ ναὸς εἰσβήσω σκάφος.
ΟΡ. ὄμνυ· — σὺ δ' ἔξαρχ' ὅρκον ὅστις εὐσεβής.
ΙΦ. δώσειν, λέγειν χρή, τήνδε τοῖς ἐμοῖς φίλοις.
745 ΠΥ. τοῖς σοῖς φίλοισι γράμματ' ἀποδώσω τάδε.
ΙΦ. κἀγὼ σὲ σώσω κυανέας ἔξω πέτρας.
ΠΥ. τίν' οὖν ἐπόμνυς τοισίδ' ὅρκιον θεῶν;
ΙΦ. Ἄρτεμιν, ἐν ἧσπερ δώμασιν τιμὰς ἔχω.
ΠΥ. ἐγὼ δ' ἄνακτά γ' οὐρανοῦ, σεμνὸν Δία.
750 ΙΦ. εἰ δ' ἐκλιπὼν τὸν ὅρκον ἀδικοίης ἐμέ;
ΠΥ. ἄνοστος εἴην. — τί δὲ σύ, μὴ σώσασά με;
ΙΦ. μήποτε κατ' Ἄργος ζῶσ' ἴχνος θείην ποδός.

ΠΥ. ἄκουε δή νυν ὃν παρήλθομεν λόγον.
ΙΦ. ἀλλ' αὖθις ἔσται καινός, ἢν καλῶς ἔχῃ.
ΠΥ. ἐξαίρετόν μοι δὸς τόδ', ἤν τι ναῦς πάθῃ, 755
χἠ δέλτος ἐν κλύδωνι χρημάτων μέτα
ἀφανὴς γένηται, σῶμα δ' ἐκσώσω μόνον,
τὸν ὅρκον εἶναι τόνδε μηκέτ' ἔμπεδον.
ΙΦ. ἀλλ' οἶσθ' ὃ δράσω; πολλὰ γὰρ πολλῶν κυρεῖ·
τἀνόντα κἀγγεγραμμέν' ἐν δέλτου πτυχαῖς 760
λόγῳ φράσω σοι πάντ' ἀναγγεῖλαι φίλοις.
ἐν ἀσφαλεῖ γὰρ ἢν μὲν ἐκσώσῃς γραφήν,
αὐτὴ φράσει σιγῶσα τἀγγεγραμμένα·
ἢν δ' ἐν θαλάσσῃ γράμματ' ἀφανισθῇ τάδε,
τὸ σῶμα σώσας τοὺς λόγους σώσεις ἐμοί. 765
ΠΥ. καλῶς ἔλεξας τῶν τε σῶν ἐμοῦ θ' ὕπερ.
σήμαινε δ' ᾧ χρὴ τάσδ' ἐπιστολὰς φέρειν
πρὸς Ἄργος, ὅ τι τε χρὴ κλύοντά σου λέγειν.
ΙΦ. ἄγγελλ' Ὀρέστῃ, παιδὶ τ' Ἀγαμέμνονος·
„ἡ 'ν Αὐλίδι σφαγεῖσ' ἐπιστέλλει τάδε 770
ζῶσ' Ἰφιγένεια, τοῖς ἐκεῖ δ' οὐ ζῶσ' ἔτι." —
ΟΡ. ποῦ δ' ἔστ' ἐκείνη; κατθανοῦσ' ἥκει πάλιν;
ΙΦ. ἥδ' ἣν ὁρᾷς σύ· μὴ λόγοις ἔκπλησσέ με. —
„κόμισαί μ' ἐς Ἄργος, ὦ σύναιμε, πρὶν θανεῖν
ἐκ βαρβάρου γῆς, καὶ μετάστησον θεᾶς 775
σφαγίων, ἐφ' οἷσι ξενοφόνους τιμὰς ἔχω." —
ΟΡ. Πυλάδη, τί λέξω; ποῦ ποτ' ὄνθ' ἡυρήμεθα;
ΙΦ. „ἢ σοῖς ἀραία δώμασιν γενήσομαι,
Ὀρέσθ'," — ἵν' αὖθις ὄνομα, δὶς κλύων, μάθῃς.
ΠΥ. ὦ θεοί.
ΙΦ. τί τοὺς θεοὺς ἀνακαλεῖς ἐν τοῖς ἐμοῖς; 780
ΠΥ. οὐδέν· — πέραινε δ', ἐξέβην γὰρ ἄλλοσε·

τάχ' οὐκ ἐρωτῶν σ' εἰς ἄπιστ' ἀφίξομαι.
ΙΦ. λέγ', οὕνεκ' ἔλαφον ἀντιδοῦσά μου θεὰ
Ἄρτεμις ἔσωσέ μ'· ἣν ἔθυσ' ἐμὸς πατήρ,
785 δοκῶν ἐς ἡμᾶς ὀξὺ φάσγανον βαλεῖν·
ἐς τήνδε δ' ᾤκισ' αἶαν. — αἵδ' ἐπιστολαί,
τάδ' ἐστὶ τἀν δέλτοισιν ἐγγεγραμμένα.
ΠΥ. ὦ ῥᾳδίοις ὅρκοισι περιβαλοῦσά με,
κάλλιστα δ' ὀμόσασ', οὐ πολὺν σχήσω χρόνον,
790 τὸν δ' ὅρκον ὃν κατώμοσ' ἐμπεδώσομεν.

Met èèn schrede treedt hij toe op Orestes.

ἰδού· φέρω σοι δέλτον ἀποδίδωμί τε,
Ὀρέστα, τῇδε σῆς κασιγνήτης πάρα.
ΟΡ. δέχομαι· παρεὶς δὲ γραμμάτων διαπτυχάς,
τὴν ἡδονὴν πρῶτ' οὐ λόγοις αἱρήσομαι. —
795 ὦ φιλτάτη μοι σύγγον', ἐκπεπληγμένος
ὅμως σ' ἀπίστῳ περιβαλὼν βραχίονι
ἐς τέρψιν εἶμι, πυθόμενος θαυμάστ' ἐμοί.

Hij wil haar omarmen

ΧΟ. ξεῖν' — οὐ δικαίως τῆς θεοῦ τὴν πρόσπολον
χραίνεις, ἀθίκτοις περιβαλὼν πέπλοις χέρα.
800 ΟΡ. ὦ συγκασιγνήτη τε κἀκ ταὐτοῦ πατρὸς
Ἀγαμέμνονος γεγῶσα, μή μ' ἀποστρέφου,
ἔχουσ' ἀδελφόν, οὐ δοκοῦσ' ἕξειν ποτέ.
ΙΦ. ἐγώ σ' ἀδελφὸν τὸν ἐμόν; οὐ παύσῃ λέγων;
τὸ δ' Ἄργος αὐτοῦ μεστὸν ἥ τε Ναυπλία.
805 ΟΡ. οὐκ ἔστ' ἐκεῖ σός, ὦ τάλαινα, σύγγονος.
ΙΦ. ἀλλ' ἡ Λάκαινα Τυνδαρίς σ' ἐγείνατο;
ΟΡ. Πέλοπός γε παιδὶ παιδός, οὗ 'κπέφυκ' ἐγώ.

ΙΦ. τί φῄς; ἔχεις τι τῶνδέ μοι τεκμήριον;
ΟΡ. ἔχω· πατρῴων ἐκ δόμων τι πυνθάνου.
ΙΦ. οὔκουν· λέγειν μὲν χρὴ σέ, μανθάνειν δ' ἐμέ. 810
ΟΡ. λέγοιμ' ἄν· ἀκοῇ πρῶτον Ἠλέκτρας τάδε·
Ἀτρέως Θυέστου τ' οἶσθα γενομένην ἔριν;
ΙΦ. ἤκουσα· χρυσῆς ἀρνὸς ἡνίκ' ἦν πέρι.
ΟΡ. ταῦτ' οὖν ὑφήνασ' οἶσθ' ἐν εὐπήνοις ὑφαῖς;
ΙΦ. ὦ φίλτατ' — ἐγγὺς τῶν ἐμῶν κάμπτεις φρενῶν. 815
ΟΡ. εἰκώ τ' ἐν ἱστοῖς ἡλίου μετάστασιν;
ΙΦ. ὕφηνα καὶ τόδ' εἶδος εὐμίτοις πλοκαῖς.
ΟΡ. καὶ λούτρ' ἐς Αὖλιν μητρὸς ἀνεδέξω πάρα;
ΙΦ. οἶδ'· οὐ γὰρ ὁ γάμος ἐσθλὸς ὤν μ' ἀφείλετο.
ΟΡ. τί γάρ; κόμας σὰς μητρὶ δοῦσα σῇ φέρειν; 820
ΙΦ. μνημεῖά γ' ἀντὶ σώματος τοὐμοῦ τάφῳ.
ΟΡ. ἃ δ' εἶδον αὐτός, τάδε φράσω τεκμήρια·
Πέλοπος παλαιὰν ἐν δόμοις λόγχην πατρός,
ἣν χερσὶ πάλλων παρθένον Πισάτιδα
ἐκτήσαθ' Ἱπποδάμειαν, Οἰνόμαον κτανών, 825
ἐν παρθενῶσι τοῖσι σοῖς κεκρυμμένην.

Zij omhelzen elkander.

ὦ φίλτατ', οὐδὲν ἄλλο, φίλτατος γὰρ εἶ,
ἔχω σ' — ἔχω σ', Ὀρέστα, τηλύγετον τέκνον,
χθονὸς ἀπὸ πατρίδος,
Ἀργόθεν· ὦ φίλος.... 830
ΟΡ. κἀγώ σε τὴν θανοῦσαν, ὡς δοξάζεται.
κατὰ δὲ δάκρυ ἄδακρυ, κατὰ δὲ γόος ἅμα χαρᾷ
τὸ σὸν νοτίζει βλέφαρον, ὡσαύτως δ' ἐμόν.
ΙΦ. τόδ' ἔτι, τόδ' ἔτι βρέφος ἔλιπον ἀγκάλαισι νεαρὸν τροφοῦ, νεαρὸν ἐν δόμοις. 835
ὦ κρεῖσσον ἢ λόγοισιν εὐτυχοῦσά μου

ψυχά. τί φῶ; — θαυμάτων
πέρα καὶ λόγου πρόσω τάδ' ἐπέβα.
ΟΡ. τὸ λοιπὸν εὐτυχοῖμεν ἀλλήλων μέτα.
ΙΦ. ἄτοπον ἀδονὰν ἔλαβον, ὦ φίλαι·
δέδοικα δ' ἐκ χερῶν με μὴ πρὸς αἰθέρα
ἀμπτάμενος φύγῃ.
ἰὼ Κυκλωπὶς ἑστία·
ἰὼ πατρίς, Μυκήνα φίλα,
χάριν ἔχω ζόας, χάριν ἔχω τροφᾶς,
ὅτι μοι συνομαίμονα τόνδε δόμοις
ἐξεθρέψω φάος.

ΟΡ. γένει μὲν εὐτυχοῦμεν, ἐς δὲ συμφοράς,
ὦ σύγγον', ἡμῶν δυστυχὴς ἔφυ βίος.
ΙΦ. ἐγῷδ' ἁ μέλεος, οἶδ' ὅτε φάσγανον
δέρᾳ θῆκέ μοι μελεόφρων πατήρ.
ΟΡ. οἴμοι· δοκῶ γὰρ οὐ παρών σ' ὁρᾶν ἐκεῖ.
ΙΦ. ἀνυμέναιος — ὦ σύγγον' — Ἀχιλλέως
ἐς κλισίαν λέκτρων
δολίαν ὅτ' ἀγόμαν·
παρὰ δὲ βωμὸν ἦν δάκρυα καὶ γόοι.
φεῦ φεῦ χερνίβων ἐκεῖ καὶ κανῶν.
ΟΡ. ὤμωξα κἀγὼ τόλμαν ἣν ἔτλη πατήρ.
ΙΦ. ἀπάτορ', ἀπάτορα πότμον ἔλαχον,
ἄλλα δ' ἐξ ἄλλων κυρεῖ.
ΟΡ. εἰ σόν γ' ἀδελφόν, ὦ τάλαιν', ἀπώλεσας....
ΙΦ. δαίμονος τύχᾳ τινός·
ὦ μελέα δεινᾶς τόλμας. — δεῖν' ἔτλαν,
δεῖν' ἔτλαν, ὤμοι σύγγονε· παρὰ δ' ὀλίγον
ἀπέφυγες ὄλεθρον ἀνόσιον ἐξ ἐμᾶν
δαϊχθεὶς χερῶν.

ἁ δ' ἐπ' αὐτοῖσι τίς τελευτά;
τίς τύχα μοι συγχωρήσει;
τίνα σοι πόρον εὑρομένα
πάλιν ἀπὸ πόλεως ἀποφόνου πέμψω
πατρίδ' ἐς Ἀργείαν,
πρὶν ἐπὶ ξίφος αἵματι σῷ πελάσαι;
τόδε τόδε σόν, ὦ μελέα ψυχά,
χρέος ἀνευρίσκειν.
πότερον κατὰ χέρσον, οὐχὶ ναΐῳ,
ἀλλὰ ποδῶν ῥιπᾷ;
θανάτῳ πελάσεις ἄρα βάρβαρα φῦλα
καὶ διόδους ἀνόδους στείχων· διὰ κυανέας μὴν
στενοπόρου πέτρας μακρὰ κέλευθα ναΐοισιν δρασμοῖς.
τάλαινα, τάλαινα.
τίς ἂν οὖν, τίς ἂν ἢ θεὸς ἢ βροτὸς ἢ
τί τῶν ἀδοκήτων,
πόρον ἄπορον ἐξανύσας
δυοῖν τοῖν μόνοιν Ἀτρείδαιν φανεῖ
κακῶν ἔκλυσιν;

ΧΟ. ἐν τοῖσι θαυμαστοῖσι καὶ μύθων πέρα
τάδ' εἶδον αὐτὴ κοὐ κλύουσ' ἀπαγγελῶ.
ΠΥ. τὸ μὲν φίλους ἐλθόντας εἰς ὄψιν φίλων,
Ὀρέστα, χειρῶν περιβολὰς εἰκὸς λαβεῖν·
λήξαντα δ' οἴκτων κἀπ' ἐκεῖν' ἐλθεῖν χρεών,
ὅπως τὸ κλεινὸν ὄνομα τῆς σωτηρίας
λαβόντες ἐκ γῆς βησόμεσθα βαρβάρου.
σοφῶν γὰρ ἀνδρῶν ταῦτα, μὴ 'κβάντας τύχης,
καιρὸν λαβόντας, ἡδονὰς ἄλλας λαβεῖν.
ΟΡ. καλῶς ἔλεξας· τῇ τύχῃ δ' οἶμαι μέλειν

910 τοῦδε ξὺν ἡμῖν· ἢν δέ τις πρόθυμος ᾖ,
σθένειν τὸ θεῖον μᾶλλον εἰκότως ἔχει.
ΙΦ. οὐδέν μ' ἐπίσχει γ', οὐδ' ἀποστήσει λόγου,
πρῶτον πυθέσθαι τίνα ποτ' Ἠλέκτρα πότμον
εἴληχε βιότου· φίλα γάρ ἐστι πάντ' ἐμοί...
915 ΟΡ. τῷδε ξυνοικεῖ, βίον ἔχουσ' εὐδαίμονα.
ΙΦ. οὗτος δὲ ποδαπὸς καὶ τίνος πέφυκε παῖς;
ΟΡ. Στρόφιος ὁ Φωκεὺς τοῦδε κλῄζεται πατήρ.
ΙΦ. ὅδ' ἐστί γ' Ἀτρέως θυγατρός, ὁμογενὴς ἐμός;
ΟΡ. ἀνεψιός γε, μόνος ἐμοὶ σαφὴς φίλος.
920 ΙΦ. οὐκ ἦν τόθ' οὗτος ὅτε πατὴρ ἔκτεινέ με.
ΑΡ. οὐκ ἦν· χρόνον γὰρ Στρόφιος ἦν ἄπαις τινά.
ΙΦ. χαῖρ' ὦ πόσις μοι τῆς ἐμῆς ὁμοσπόρου.
ΟΡ. κἀμός γε σωτήρ, οὐχὶ συγγενὴς μόνον.
ΙΦ. τὰ δεινὰ δ' ἔργα πῶς ἔτλης μητρὸς πέρι;
925 ΟΡ. σιγῶμεν αὐτά — πατρὶ τιμωρῶν ἐμῷ.
ΙΦ. ἡ δ' αἰτία τίς ἀνθ' ὅτου κτείνει πόσιν;
ΟΡ. ἔα τὰ μητρός· οὐδὲ σοὶ κλύειν καλόν.
ΙΦ. σιγῶ· τὸ δ' Ἄργος πρὸς σὲ νῦν ἀποβλέπει;
ΟΡ. Μενέλαος ἄρχει· φυγάδες ἐσμὲν ἐκ πάτρας.
930 ΙΦ. οὔ που νοσοῦντας θεῖος ὕβρισεν δόμους;
ΟΡ. οὔκ, ἀλλ' Ἐρινύων δεῖμά μ' ἐκβάλλει χθονός.
ΙΦ. ταῦτ' ἄρ' ἐπ' ἀκταῖς κἀνθάδ' ἠγγέλης μανείς;
ΟΡ. ὤφθημεν οὐ νῦν πρῶτον ὄντες ἄθλιοι.
ΙΦ. ἔγνωκα· μητρός σ' οὕνεκ' ἠλάστρουν θεαί.
935 ΟΡ. ὥσθ' αἱματηρὰ στόμι' ἐπεμβαλεῖν ἐμοί.
ΙΦ. τί γάρ ποτ' ἐς γῆν τήνδ' ἐπόρθμευσας πόδα;
ΟΡ. Φοίβου κελευσθεὶς θεσφάτοις ἀφικόμην.
ΙΦ. τί χρῆμα δράσειν; ῥητὸν ἢ σιγώμενον;
ΟΡ. λέγοιμ' ἄν· ἀρχαὶ δ' αἵδε μοι πολλῶν πόνων.

ἐπεὶ τὰ μητρὸς ταῦθ' ἃ σιγῶμεν κακὰ 940
ἐς χεῖρας ἦλθε, μεταδρομαῖς Ἐρινύων
ἠλαυνόμεσθα φυγάδες· ἔνθεν μοι πόδα
ἐς τὰς Ἀθήνας δὴ 'σέπεμψε Λοξίας,
δίκην παρασχεῖν ταῖς ἀνωνύμοις θεαῖς.
ἔστιν γὰρ ὁσία ψῆφος, ἣν Ἄρει ποτὲ 945
Ζεὺς εἵσατ' ἔκ του δὴ χερῶν μιάσματος.
ἐλθὼν δ' ἐκεῖσε — πρῶτα μέν μ' οὐδεὶς ξένων
ἑκὼν ἐδέξαθ', ὡς θεοῖς στυγούμενον·
οἳ δ' ἔσχον αἰδῶ ξένια μονοτράπεζά μοι
παρέσχον, οἴκων ὄντες ἐν ταὐτῷ στέγει, 950
σιγῇ δ' ἐτεκτήναντ' ἀπρόσφθεγκτόν μ', ὅπως
δαιτὸς γενοίμην πώματός τ' αὐτοῦ δίχα·
ἐς δ' ἄγγος ἴδιον ἴσον ἅπασι βακχίου
μέτρημα πληρώσαντες εἶχον ἡδονήν.
κἀγὼ 'ξελέγξαι μὲν ξένους οὐκ ἠξίουν, 955
ἤλγουν δὲ σιγῇ κἀδόκουν οὐκ εἰδέναι,
μέγα στενάζων οὕνεκ' ἦ μητρὸς φονεύς.
κλύω δ' Ἀθηναίοισι τἀμὰ δυστυχῆ
τελετὴν γενέσθαι, κἄτι τὸν νόμον μένειν,
χοῆρες ἄγγος Παλλάδος τιμᾶν λεών. 960
ὡς δ' εἰς Ἄρειον ὄχθον ἧκον, ἐς δίκην τ'
ἔστην — ἐγὼ μὲν θάτερον λαβὼν βάθρον,
τὸ δ' ἄλλο πρέσβειρ' ἥπερ ἦν Ἐρινύων —
εἰπὼν ἀκούσας θ' αἵματος μητρὸς πέρι,
Φοῖβός μ' ἔσωσε μαρτυρῶν· ἴσας δέ μοι 965
ψήφους διηρίθμησε Παλλὰς ὠλένῃ·
νικῶν δ' ἀπῆρα φόνια πειρατήρια.
ὅσαι μὲν οὖν ἔζοντο πεισθεῖσαι δίκῃ,
ψῆφον παρ' αὐτὴν ἱερὸν ὡρίσαντ' ἔχειν·

970 ὅσαι δ' Ἐρινύων οὐκ ἐπείσθησαν νόμῳ,
δρόμοις ἀνιδρύτοισιν ἠλάστρουν μ' ἀεί,
ἕως ἐς ἁγνὸν ἦλθον αὖ Φοίβου πέδον,
καὶ πρόσθεν ἀδύτων ἐκταθείς, νῆστις βορᾶς,
ἐπώμοσ' αὐτοῦ βίον ἀπορρήξειν θανών,
975 εἰ μή με σώσει Φοῖβος, ὅς μ' ἀπώλεσεν.
ἐντεῦθεν αὐδὴν τρίποδος ἐκ χρυσοῦ λακὼν
Φοῖβός μ' ἔπεμψε δεῦρο, διοπετὲς λαβεῖν
ἄγαλμ', Ἀθηνῶν τ' ἐγκαθιδρῦσαι χθονί.
ἀλλ' ἥνπερ ἡμῖν ὥρισεν σωτηρίαν,
980 σύμπραξον· ἢν γὰρ θεᾶς κατάσχωμεν βρέτας,
μανιῶν τε λήξω καὶ σὲ πολυκώπῳ σκάφει
στείλας Μυκήναις ἐγκαταστήσω πάλιν. . . .
ἀλλ' — ὦ φιλήθεῖσ', ὦ κασίγνητον κάρα,
σῶσον πατρῷον οἶκον, ἔκσωσον δ' ἐμέ·
985 ὡς τἄμ' ὄλωλε πάντα καὶ τὰ Πελοπιδῶν,
οὐράνιον εἰ μὴ ληψόμεσθα θεᾶς βρέτας.

ΧΟ. δεινή τις ὀργὴ δαιμόνων ἐπέζεσε
τὸ Ταντάλειον σπέρμα, διὰ πόνων τ' ἄγει.

ΙΦ. τὸ μὲν πρόθυμον, πρίν σε δεῦρ' ἐλθεῖν, ἔχω
990 Ἄργει γενέσθαι καὶ σέ, σύγγον', εἰσιδεῖν.
θέλω δ' ἅπερ σύ, σέ τε μεταστῆσαι πόνων
νοσοῦντά τ' οἶκον, οὐχὶ τῷ κτανοῦντι με
θυμουμένη, πατρῷον ὀρθῶσαι θέλω.
σφαγῆς δέ γ' ἂν σῆς χεῖρ' ἀπαλλάξαιμεν ἄν,
995 σώσαιμὶ δ' οἴκους . . . τὴν θεὸν δ' ὅπως λάθω
δέδοικα, καὶ τύραννον, ἡνίκ' ἂν κενὰς
κρηπῖδας εὕρῃ λαΐνας ἀγάλματος.
πῶς τ' οὐ θανοῦμαι, τίς δ' ἔνεστί μοι λόγος; . . .
ἀλλ' — εἰ μὲν ἕν τι τοῦθ' ὁμοῦ γενήσεται,

ἄγαλμά τ' οἴσεις κἀμ' ἐπ' εὐπρύμνου νεὼς 1000
ἄξεις, τὸ κινδύνευμα γίγνεται καλόν·
τούτου δὲ χωρισθεῖσ' — ἐγὼ μὲν ὄλλυμαι,
σὺ δ' ἂν τὸ σαυτοῦ θέμενος εὖ νόστου τύχοις.
οὐ μήν τι φεύγω γ', οὐδέ μ' εἰ θανεῖν χρεών,
σώσασά σ'· οὐ γὰρ ἀλλ' ἀνὴρ μὲν ἐκ δόμων 1005
θανὼν ποθεινός, τὰ δὲ γυναικὸς ἀσθενῆ.

ΟΡ. οὐκ ἂν γενοίμην σοῦ τε καὶ μητρὸς φονεύς.
ἅλις τὸ κείνης αἷμα· κοινόφρων δὲ σοὶ
καὶ ζῆν θέλοιμ' ἂν καὶ θανὼν λαχεῖν ἴσον.
ἄξω δέ γ', ἥνπερ καὐτὸς ἐνταυθοῖ πέσω, 1010
πρὸς οἶκον, ἢ σοῦ κατθανὼν μενῶ μέτα.
γνώμης δ' ἄκουσον· — εἰ πρόσαντες ἦν τόδε
Ἀρτέμιδι, πῶς ἂν Λοξίας ἐθέσπισε
κομίσαι μ' ἄγαλμα θεᾶς πόλισμ' ἐς Παλλάδος,
καὶ σὸν πρόσωπον εἰσιδεῖν; — ἅπαντα γὰρ 1015
συνθεὶς τάδ' εἰς ἓν νόστον ἐλπίζω λαβεῖν.

ΙΦ. πῶς οὖν γένοιτ' ἂν ὥστε μήθ' ἡμᾶς θανεῖν,
λαβεῖν θ' ἃ βουλόμεσθα; τῇδε γὰρ νοσεῖ
νόστος πρὸς οἴκους· ἡ δὲ βούλησις πάρα.

ΟΡ. ἆρ' ἂν τύραννον διολέσαι δυναίμεθ' ἄν; 1020

ΙΦ. δεινὸν τόδ' εἶπας, ξενοφονεῖν ἐπήλυδας.

ΟΡ. ἀλλ', εἰ σὲ σώσει κἀμέ, κινδυνευτέον.

ΙΦ. οὐκ ἂν δυναίμην· τὸ δὲ πρόθυμον ἤνεσα.

ΟΡ. τί δ', εἴ με ναῷ τῷδε κρύψειας λάθρα;

ΙΦ. ὡς δὴ σκότον λαβόντες ἐκσωθεῖμεν ἄν; 1025

ΟΡ. κλεπτῶν γὰρ ἡ νύξ, τῆς δ' ἀληθείας τὸ φῶς.

ΙΦ. εἴσ' ἔνδον ἱεροὶ φύλακες, οὓς οὐ λήσομεν.

ΟΡ. οἴμοι διεφθάρμεσθα· πῶς σωθεῖμεν ἄν;

ΙΦ. ἔχειν δοκῶ μοι καινὸν ἐξεύρημά τι.

ΟΡ. ποῖόν τι; δόξης μετάδοσ, ὡς κἀγὼ μάθω.
ΙΦ. ταῖς σαῖς ἀνίαις χρήσομαι σοφίσμασιν.
ΟΡ. δειναὶ γὰρ αἱ γυναῖκες εὑρίσκειν τέχνας.
ΙΦ. φονέα σε φήσω μητρὸς ἐξ Ἄργους μολεῖν.
ΟΡ. χρῆσαι κακοῖσι τοῖς ἐμοῖς, εἰ κερδανεῖς.
ΙΦ. ὡς οὐ θέμις γε λέξομεν θύειν θεᾷ,
ΟΡ. τίν' αἰτίαν ἔχουσ'; — ὑποπτεύω τι γάρ.
ΙΦ. οὐ καθαρὸν ὄντα· τὸ δ' ὅσιον δώσω φόβῳ.
ΟΡ. τί δῆτα μᾶλλον θεᾶς ἄγαλμ' ἁλίσκεται;
ΙΦ. πόντου σε πηγαῖς ἁγνίσαι βουλήσομαι.
ΟΡ. ἔτ' ἐν δόμοισι βρέτας, ἐφ' ᾧ πεπλεύκαμεν.
ΙΦ. κἀκεῖνο νίψαι, σοῦ θιγόντος ὥς, ἐρῶ.
ΟΡ. ποῖ δῆτα πόντου; — πότερον εἶπας ἔκβολον;
ΙΦ. οὗ ναῦς χαλινοῖς λινοδέτοις ὁρμεῖ σέθεν.
ΟΡ. σὺ δ' ἤ τις ἄλλος ἐν χεροῖν οἴσει βρέτας;
ΙΦ. ἐγώ· θιγεῖν γὰρ ὅσιόν ἐστ' ἐμοὶ μόνῃ.
ΟΡ. Πυλάδης δ' ὅδ' ἡμῖν ποῦ τετάξεται πόνου;
ΙΦ. ταὐτὸν χεροῖν σοὶ λέξεται μίασμ' ἔχων.
ΟΡ. λάθρα δ' ἄνακτος ἢ εἰδότος δράσεις τάδε;
ΙΦ. πείσασα μύθοις· οὐ γὰρ ἂν λάθοιμί γε.
ΟΡ. καὶ μὴν νεώς γε πίτυλος εὐήρης πάρα.
ΙΦ. σοὶ δὴ μέλειν χρὴ τἄλλ' ὅπως ἕξει καλῶς.
ΟΡ. ἑνὸς μόνου δεῖ· τάσδε συγκρύψαι τάδε.
ἀλλ' ἀντίαζε καὶ λόγους πειστηρίους
εὕρισκ'· — ἔχει τοι δύναμιν εἰς οἶκτον γυνή.
τὰ δ' ἄλλ' ἴσως ἅπαντα συμβαίη καλῶς.

Iphigenia treedt toe op de rei.

ΙΦ. ὦ φίλταται γυναῖκες, εἰς ὑμᾶς βλέπω,
καὶ τἄμ' ἐν ὑμῖν ἐστιν ἢ καλῶς ἔχειν

ἢ μηδὲν εἶναι, καὶ στερηθῆναι πάτρας
φίλου τ' ἀδελφοῦ φιλτάτης τε συγγόνου.
καὶ πρῶτα μέν μοι τοῦ λόγου τάδ' ἀρχέτω· 1060
γυναῖκές ἐσμεν, φιλόφρον ἀλλήλαις γένος,
σῴζειν τε κοινὰ πράγματ' ἀσφαλέσταται·
σιγήσαθ' ἡμῖν καὶ συνεκπονήσατε
φυγάς. — καλόν τοι γλῶσσ' ὅτῳ πιστὴ παρῇ.
ὁρᾶτε δ' ὡς τρεῖς μία τύχη τοὺς φιλτάτους, 1065
ἢ γῆς πατρῴας νόστος ἢ θανεῖν, ἔχει.
σωθεῖσα δ', ὡς ἂν καὶ σὺ κοινωνῇς τύχης,
σώσω σ' ἐς Ἑλλάδ' —

Zij gaat bij enkelen langs, om zich dan weer tot allen te richten.

ἀλλὰ πρός σε δεξιᾶς,
σὲ καὶ σ' ἱκνοῦμαι, σὲ δὲ φίλης παρηίδος
γονάτων τε καὶ τῶν ἐν δόμοισι φιλτάτων, 1070
μητρὸς πατρός τε, καὶ τέκνων ὅτῳ κυρεῖ.
τί φατέ; τίς ὑμῶν φησιν, ἢ τίς οὐ θέλει,
φθέγξασθε, ταῦτα; μὴ γὰρ αἰνουσῶν λόγους
ὅλωλα κἀγὼ καὶ κασίγνητος τάλας.
ΧΟ. θάρσει, φίλη δέσποινα, καὶ σῴζου μόνον· 1075
ὡς ἔκ γ' ἐμοῦ σοι πάντα σιγηθήσεται —
ἴστω μέγας Ζεὺς — ὧν ἐπισκήπτεις πέρι.
ΙΦ. ὄναισθε μύθων καὶ γένοισθ' εὐδαίμονες.

Tot Orestes en Pylades.

σὸν ἔργον ἤδη καὶ σὸν ἐσβαίνειν δόμους·
ὡς αὐτίχ' ἥξει τῆσδε κοίρανος χθονός, 1080
θυσίαν ἐλέγχων εἰ κατείργασται ξένων.

Beide af in de tempel.

ὦ πότνι', ἥπερ μ' Αὐλίδος κατὰ πτυχὰς
δεινῆς ἔσωσας ἐκ πατροκτόνου χερός,
σῶσόν με καὶ νῦν, τούσδε τ'· — ἢ τὸ Λοξίου
1085 οὐκέτι βροτοῖσι διὰ σ' ἐτήτυμον στόμα....
ἀλλ' εὐμενὴς ἔκβηθι βαρβάρου χθονὸς
ἐς τὰς Ἀθήνας· καὶ γὰρ ἐνθάδ' οὐ πρέπει
ναίειν, παρόν σοι πόλιν ἔχειν εὐδαίμονα.

Ook Iphigenia gaat binnen in de tempel.

Str. ΧΟ. ὄρνις, ἃ παρὰ πετρίνας
1090 πόντου δειράδας, ἀλκυών,
ἔλεγον οἶτον ἀείδεις,
εὐξύνετον ξυνετοῖσι βοάν,
ὅτι πόσιν κελαδεῖς ἀεὶ μολπαῖς,
ἐγώ σοι παραβάλλομαι
1095 θρήνους — ἄπτερος ὄρνις —
ποθοῦσ' Ἑλλάνων ἀγόρους,
ποθοῦσ' Ἄρτεμιν λοχίαν,
ἃ παρὰ Κύνθιον ὄχθον οἰκεῖ
φοίνικά θ' ἁβροκόμαν,
1100 δάφναν τ' εὐερνέα καὶ
γλαυκᾶς θαλλὸν ἱερὸν ἐλαίας,
Λατοῦς ὠδῖνα φίλαν,
λίμναν θ' εἰλίσσουσαν ὕδωρ
κύκλιον, ἔνθα κύκνος μελῳ-
1105 δὸς Μούσας θεραπεύει.

Ant. ὦ πολλαὶ δακρύων λιβάδες,
αἳ παρηίδας εἰς ἐμὰς
ἔπεσον, ἀνίκα πύργων
ὀλλυμένων ἐπὶ ναυσὶν ἔβαν

πολεμίων ἐρετμοῖσι καὶ λόγχαις· 1110
ζαχρύσου δὲ δι' ἐμπολᾶς
νόστον βάρβαρον ἦλθον·
ἔνθα τᾶς ἐλαφοκτόνου
θεᾶς ἀμφίπολον κόραν
παῖδ' Ἀγαμεμνονίαν λατρεύω, 1115
βωμούς τ' οὐ μηλοθύτας,
ζηλοῦσ' ἄταν διὰ παν-
τὸς δυσδαίμον'. — ἐν γὰρ ἀνάγκαις
οὐ κάμνεις σύντροφος ὤν·
μεταβάλλει δυσδαιμονία· 1120
τὸ δὲ μετ' εὐτυχίαν κακοῦ-
σθαι θνατοῖς βαρὺς αἰών.

καὶ σὲ μέν, πότνι', Ἀργεία Str.
πεντηκόντορος οἶκον ἄξει·
συρίζων θ' ὁ κηροδέτας 1125
κάλαμος οὐρείου Πανὸς
κώπαις ἐπιθωύξει,
ὁ Φοῖβός θ' ὁ μάντις ἔχων
κέλαδον ἑπτατόνου λύρας,
ἀείδων ἄξει λιπαρὰν 1130
εὖ σ' Ἀθηναίων ἐπὶ γᾶν.
ἐμὲ δ' αὐτοῦ λιποῦσα
βήσει ῥοθίοισι πλάταις·
ἀέρι δὲ πρότονοι κατὰ πρῷραν ὑ-
πὲρ στόλον ἐκπετάσουσι πόδα 1135
ναὸς ὠκυπόμπου.

λαμπρὸν ἱππόδρομον βαίην, Ant.
ἔνθ' εὐάλιον ἔρχεται πῦρ·

* *

οἰκείων δ' ὑπὲρ θαλάμων
πτέρυγας ἐν νώτοις ἁμοῖς
λήξαιμι θοάζουσα·
χοροῖς δὲ σταίην, ὅθι καὶ
παρθένος εὐδοκίμων γάμων
παρά ποθ' εἱλίσσουσα φίλας
ματρὸς ἡλίκων θιάσους,
χαρίτων εἰς ἁμίλλας —
χαίτας ἁβρόπλουτον ἔριν —
ὀρνυμένα, πολυποίκιλα φάρεα
καὶ πλοκάμους περιβαλλομένα
γένυσιν ἐσκίαζον.

Koning Thoas, begeleid door dienaren, komt op van links.

ΘΟΑΣ
ποῦ 'σθ' ἡ πυλωρὸς τῶνδε δωμάτων γυνὴ
Ἑλληνίς; — ἤδη τῶν ξένων κατήρξατο;
ἀδύτοις ἐν ἀγνοῖς σῶμα λάμπονται πυρί;

De tempeldeur gaat open. Iphigenia verschijnt op de drempel, het beeld van Artemis in de armen.

ΧΟ. ἥδ' ἐστίν, ἥ σοι πάντ', ἄναξ, ἐρεῖ σαφῶς.
ΘΟ. ἔα·
τί τόδε μεταίρεις ἐξ ἀκινήτων βάθρων,
Ἀγαμέμνονος παῖ, θεᾶς ἄγαλμ' ἐν ὠλέναις;
ΙΦ. ἄναξ, ἔχ' αὐτοῦ πόδα σὸν ἐν παραστάσιν.
ΘΟ. τί δ' ἔστιν, Ἰφιγένεια, καινὸν ἐν δόμοις;
ΙΦ. ἀπέπτυσ'· — ὁσίᾳ γὰρ δίδωμ' ἔπος τόδε.
ΘΟ. τί φροιμιάζῃ νεοχμόν; ἐξαύδα σαφῶς.

ΙΦ. οὐ καθαρά μοι τὰ θύματ' ἠγρεύσασθ', ἄναξ.
ΘΟ. τί τοὐκδιδάξαν τοῦτό σ'; ἢ δόξαν λέγεις;
ΙΦ. βρέτας τὸ τῆς θεοῦ πάλιν ἕδρας ἀπεστράφη.
ΘΟ. αὐτόματον; ἤ νιν σεισμὸς ἔστρεψε χθονός;
ΙΦ. αὐτόματον. — ὄψιν δ' ὀμμάτων ξυνήρμοσεν.
ΘΟ. ἡ δ' αἰτία τίς; ἦ τὸ τῶν ξένων μύσος;
ΙΦ. ἥδ', οὐδὲν ἄλλο· δεινὰ γὰρ δεδράκατον.
ΘΟ. ἀλλ' ἦ τιν' ἔκανον βαρβάρων ἀκτῆς ἔπι;
ΙΦ. οἰκεῖον ἦλθον τὸν φόνον κεκτημένοι.
ΘΟ. τίν'; εἰς ἔρον γὰρ τοῦ μαθεῖν πεπτώκαμεν.
ΙΦ. μητέρα κατειργάσαντο κοινωνῷ ξίφει.
ΘΟ. Ἄπολλον — οὐδ' ἐν βαρβάροις ἔτλη τις ἄν.
ΙΦ. πάσης διωγμοῖς ἠλάθησαν Ἑλλάδος.
ΘΟ. ἦ τῶνδ' ἕκατι δῆτ' ἄγαλμ' ἔξω φέρεις;
ΙΦ. σεμνόν γ' ὑπ' αἰθέρ'· ὡς μεταστήσω φόνου.
ΘΟ. μίασμα δ' ἔγνως τοῖν ξένοιν ποίῳ τρόπῳ;
ΙΦ. ἤλεγχον, ὡς θεᾶς βρέτας ἀπεστράφη πάλιν.
ΘΟ. σοφήν σ' ἔθρεψεν Ἑλλάς, ὡς ἤσθου καλῶς.
ΙΦ. καὶ μὴν καθεῖσαν δέλεαρ ἡδύ μοι φρενῶν.
ΘΟ. τῶν Ἀργόθεν τι φίλτρον ἀγγέλλοντέ σοι;
ΙΦ. τὸν μόνον Ὀρέστην ἐμὸν ἀδελφὸν εὐτυχεῖν.
ΘΟ. ὡς δή σφε σώσαις ἡδοναῖς ἀγγελμάτων.
ΙΦ. καὶ πατέρα γε ζῆν καὶ καλῶς πράσσειν ἐμόν.
ΘΟ. σὺ δ' ἐς τὸ τῆς θεοῦ γ' ἐξένευσας εἰκότως.
ΙΦ. πᾶσάν γε μισοῦσ' Ἑλλάδ', ἥ μ' ἀπώλεσεν.
ΘΟ. τί δῆτα δρῶμεν, Φράζε, τοῖν ξένοιν πέρι;
ΙΦ. τὸν νόμον ἀνάγκη τὸν προκείμενον σέβειν.
ΘΟ. οὔκουν ἐν ἔργῳ χέρνιβες ξίφος τε σόν;
ΙΦ. ἁγνοῖς καθαρμοῖς πρῶτά νιν νίψαι θέλω.
ΘΟ. πηγαῖσιν ὑδάτων ἢ θαλασσίᾳ δρόσῳ:

ΙΦ. θάλασσα κλύζει πάντα τἀνθρώπων κακά.
ΘΟ. ὁσιώτερον γοῦν τῇ θεῷ πέσοιεν ἄν.
1195 ΙΦ. καὶ τἀμά γ' οὕτω μᾶλλον ἂν καλῶς ἔχοι.
ΘΟ. οὔκουν πρὸς αὐτὸν ναὸν ἐκπίπτει κλύδων;
ΙΦ. ἐρημίας δεῖ· — καὶ γὰρ ἄλλα δράσομεν.
ΘΟ. ἄγ' ἔνθα χρῄζεις· οὐ φιλῶ τἄρρηθ' ὁρᾶν.
ΙΦ. ἁγνιστέον μοι καὶ τὸ τῆς θεοῦ βρέτας.
1200 ΘΟ. εἴπερ γε κηλὶς ἔβαλέ νιν μητροκτόνος.
ΙΦ. οὐ γάρ ποτ' ἄν νιν ἠράμην βάθρων ἄπο.
ΘΟ. δίκαιος ηὐσέβεια καὶ προμηθία.

Gedurende het volgende gaan, na de opdracht van Iphigenia en Thoas aangehoord te hebben, eerst een tweetal dienaren de tempel binnen en daarna een derde naar links, in de richting van de stad.

ΙΦ. οἶσθά νυν ἅ μοι γενέσθω;
ΘΟ. σὸν τὸ σημαίνειν τόδε.
ΙΦ. δεσμὰ τοῖς ξένοισι πρόσθες.
ΘΟ. ποῖ δέ σ' ἐκφύγοιεν ἄν;
1205 ΙΦ. πιστὸν Ἑλλὰς οἶδεν οὐδέν.
ΘΟ. ἴτ' ἐπὶ δεσμά, πρόσπολοι.
ΙΦ. κἀκκομιζόντων δὲ δεῦρο τοὺς ξένους....
ΘΟ. ἔσται τάδε.
ΙΦ. κρᾶτα κρύψαντες πέπλοισιν.
ΘΟ. Ἡλίου πρόσθεν φλογός.
ΙΦ. σῶν τέ μοι σύμπεμπ' ὀπαδῶν.
ΘΟ. οἵδ' ἐμαρτήσουσί σοι.
ΙΦ. καὶ πόλει πέμψον τιν' ὅστις σημανεῖ....
ΘΟ. ποίας τύχας;
1210 ΙΦ. ἐν δόμοις μίμνειν ἅπαντας.
ΘΟ. μὴ συναντῷεν φόνῳ.

ΙΦ. μυσαρὰ γὰρ τὰ τοιάδ' ἐστί.
ΘΟ. στεῖχε καὶ σήμαινε σύ.
ΙΦ. μηδέν' εἰς ὄψιν πελάζειν.
ΘΟ. εὖ γε κηδεύεις πόλιν.
ΙΦ. καὶ φίλων γ' οὓς δεῖ μάλιστα....
ΘΟ. τοῦτ' ἔλεξας εἰς ἐμέ·
ΙΦ. σῶς μ' ἰδεῖν.
ΘΟ. ὡς εἰκότως σε πᾶσα θαυμάζει πόλις.
ΙΦ. σὺ δὲ μένων αὐτοῦ πρὸ ναῶν τῇ θεῷ.... 1215
ΘΟ. τί χρῆμα δρῶ;
ΙΦ. ἅγνισον πυρσῷ μέλαθρον.
ΘΟ. καθαρὸν ὡς μόλης πάλιν.
ΙΦ. ἡνίκ' ἂν δ' ἔξω περῶσιν οἱ ξένοι....
ΘΟ. τί χρή με δρᾶν;
ΙΦ. πέπλον ὀμμάτων προθέσθαι.
ΘΟ. μὴ παλαμναῖον λάβω.
ΙΦ. ἦν δ' ἄγαν δοκῶ χρονίζειν....
ΘΟ. τοῦδ' ὅρος τίς ἐστί μοι;
ΙΦ. θαυμάσῃς μηδέν. 1220
ΘΟ. τὰ τῆς θεοῦ πρᾶσσ', ἐπεὶ σχολή, καλῶς.
ΙΦ. εἰ γὰρ ὡς θέλω καθαρμὸς ὅδε πέσοι.
ΘΟ. συνεύχομαι.

Uit de tempel verschijnen Orestes en Pylades, geboeid en het hoofd omhuld, begeleid door de aangewezen bewakers. Achter hen tempeldienaren met alle benodigdheden voor de reinigingsplechtigheid. — Thoas, een slip van zijn gewaad voor de ogen, staat terzijde.

ΙΦ. τούσδ' ἄρ' ἐκβαίνοντας ἤδη δωμάτων ὁρῶ ξένους
καὶ θεᾶς κόσμους, νεογνούς τ' ἄρνας, ὡς φόνῳ φόνον

μυσαρὸν ἐκνίψω, σέλας τε λαμπάδων τά τ' ἄλλ' ὅσα
1225 προυθέμην ἐγὼ ξένοισι καὶ θεᾷ καθάρσια.
ἐκποδὼν δ' αὐδῶ πολίταις τοῦδ' ἔχειν μιάσματος·
εἴ τις ἢ ναῶν πυλωρὸς χεῖρας ἁγνεύει θεοῖς,
ἢ γάμον στείχει συνάψων, ἢ τόκοις βαρύνεται·
φεύγετ', ἐξίστασθε, μή τῳ προσπέσῃ μύσος τόδε.
1230 ὦ Διὸς Λητοῦς τ' ἄνασσα παρθέν', ἣν νίψω φόνον
τῶνδε καὶ θύσωμεν οὗ χρή, καθαρὸν οἰκήσεις δόμον,
εὐτυχεῖς δ' ἡμεῖς ἐσόμεθα. — τἄλλα δ' οὐ λέγουσ' ὅμως
τοῖς τὰ πλείον' εἰδόσιν θεοῖς σοί τε σημαίνω, θεά.

Iphigenia, met het beeld der godin, sluit zich aan bij de stoet. Deze af naar rechts. — Thoas laat de slip vallen en gaat de tempel binnen.

Str. ΧΟ. εὔπαις ὁ Λατοῦς γόνος,
1235 τόν ποτε Δηλιὰς ἐν καρποφόροις γυάλοις
γέννασε, χρυσοκόμαν,
ἐν κιθάρᾳ σοφὸν ᾄ τ' ἐπὶ τόξων
εὐστοχίᾳ γάνυται· φέρε δ' εὐθύς
1240 νιν ἀπὸ δειράδος εἰναλίας,
λοχεῖα κλεινὰ λιποῦσ'
ἀστάκτων μάτηρ νᾶμ' ὑδάτων,
τὰν βακχεύουσαν Διονύσῳ
Παρνάσιον κορυφάν·
1245 ὅθι ποικιλόνωτος οἰνωπὸς δράκων,
σκιερᾷ κατάχαλκος εὐφύλλῳ δάφνᾳ,
γᾶς πελώριον τέρας, ἄμφεπε
μαντεῖον χθόνιον.
ἔτι μιν ἔτι βρέφος, ἔτι φίλας
1250 ἐπὶ ματέρος ἀγκάλαισι θρῴσκων

ἔκανες — ὦ Φοῖβε — μαν-
τείων δ' ἐπέβας ζαθέων,
τρίποδί τ' ἐν χρυσέῳ
θάσσεις, ἐν ἀψευδεῖ θρόνῳ
μαντείας βροτοῖς 1255
θεσφάτων νέμων
ἀδύτων ὕπο, Κασταλίας ῥεέθρων
γείτων, μέσον γᾶς ἔχων μέλαθρον.

Θέμιν δ' ἐπεὶ Γαῖαν Ant.
παῖδ' ἀπενάσσατο Πυθῶνος ἀπὸ ζαθέων 1260
χρηστηρίων, νύχια
Χθὼν ἐτεκνώσατο φάσματ' ὀνείρων,
οἳ πολέσιν μερόπων τά τε πρῶτα, τά τ'
ἔπειθ', ὅσσα τ' ἔμελλε τυχεῖν, 1265
ὕπνου κατὰ δνοφερὰς
γᾶς εὐνὰς φράζον· Γαῖα δὲ τὰν
μαντείων ἀφείλετο τιμὰν
Φοῖβον, φθόνῳ θυγατρός.
ταχύπους δ' ἐς Ὄλυμπον ὁρμαθεὶς ἄναξ, 1270
χέρα παιδνὸν ἕλιξεν ἐκ Διίων θρόνων,
Πυθίων δόμων χθονίαν ἀφε-
λεῖν μῆνιν θεᾶς.
γέλασε δ', ὅτι τέκος ἄφαρ ἔβα
πολύχρυσα θέλων λατρεύματα σχεῖν· 1275
ἐπὶ δ' ἔσεισεν κόμαν,
παῦσαι νυχίους ἐνοπάς,
ἀπὸ δ' ἀλαθοσύναν
νυκτωπὸν ἐξεῖλεν βροτῶν,
καὶ τιμὰς πάλιν 1280

θῆκε Λοξίᾳ,
πολυάνορι δ' ἐν ξενόεντι θρόνῳ
θάρση βροτοῖς θεσφάτων ἀοιδαῖς.

Een der als bewakers meegezonden dienaren van Thoas komt op van rechts. Hij roept in de richting van de tempel.

ΑΓΓΕΛΟΣ

ὦ ναοφύλακες βώμιοί τ' ἐπιστάται,
Θόας ἄναξ γῆς τῆσδε ποῦ κυρεῖ βεβώς;
καλεῖτ' ἀναπτύξαντες εὐγόμφους πύλας
ἔξω μελάθρων τῶνδε κοίρανον χθονός.
ΧΟ. τί δ' ἔστιν, εἰ χρὴ μὴ κελευσθεῖσαν λέγειν;
ΑΓΓ. βεβᾶσι φροῦδοι δίπτυχοι νεανίαι,
Ἀγαμεμνονείας παιδὸς ἐκ βουλευμάτων
φεύγοντες ἐκ γῆς τῆσδε, καὶ σεμνὸν βρέτας
λαβόντες ἐν κόλποισιν Ἑλλάδος νεώς.
ΧΟ. ἄπιστον εἶπας μῦθον· ὃν δ' ἰδεῖν θέλεις
ἄνακτα χώρας, φροῦδος ἐκ ναοῦ συθείς.
ΑΓΓ. ποῖ; δεῖ γὰρ αὐτὸν εἰδέναι τὰ δρώμενα.
ΧΟ. οὐκ ἴσμεν· ἀλλὰ στεῖχε καὶ δίωκέ νιν
ὅπου κυρήσας τοῦσδ' ἀπαγγελεῖς λόγους.
ΑΓΓ. ὁρᾶτ', ἄπιστον ὡς γυναικεῖον γένος·
μέτεστι χὐμῖν τῶν πεπραγμένων μέρος.
ΧΟ. μαίνῃ· τί δ' ἡμῖν τῶν ξένων δρασμοῦ μέτα;
οὐκ εἶ κρατούντων πρὸς πύλας ὅσον τάχος;
ΑΓΓ. οὐ πρίν γ' ἂν εἴπῃ τίς ποθ' ἑρμηνεὺς τόδε,
εἴτ' ἔνδον εἴτ' οὐκ ἔνδον ἀρχηγὸς χθονός.

Hij gaat naar de tempel en bonst op de deur.

ὠή· χαλᾶτε κλῆθρα — τοῖς ἔνδον λέγω —

καὶ δεσπότῃ σημήναθ', οὕνεκ' ἐν πύλαις
πάρειμι, καινῶν φόρτον ἀγγέλλων κακῶν.

Thoas komt naar buiten.

ΘΟ. τίς ἀμφὶ δῶμα θεᾶς τόδ' ἵστησιν βοήν,
πύλας ἀράξας καὶ ψόφον πέμψας ἔσω;
ΑΓΓ. φεῦ·
ψευδῶς ἄρ' αἴδε — καί μ' ἀπήλαυνον δόμων —
ὡς ἐκτὸς εἴης· σὺ δὲ κατ' οἶκον ἥσθ' ἄρα.
ΘΟ. τί προσδοκῶσαι κέρδος ἢ θηρώμεναι;
ΑΓΓ. αὖθις τὰ τῶνδε σημανῶ· τὰ δ' ἐν ποσὶ
παρόντ' ἄκουσον· ἡ νεᾶνις ἡ 'νθάδε
βωμοῖς παρίσταθ', Ἰφιγένει', ἔξω χθονὸς
σὺν τοῖς ξένοισιν οἴχεται, σεμνὸν θεᾶς
ἄγαλμ' ἔχουσα· δόλια δ' ἦν καθάρματα.
ΘΟ. πῶς φής; τί πνεῦμα συμφορᾶς κεκτημένη;
ΑΓΓ. σῴζουσ' Ὀρέστην· τοῦτο γὰρ σὺ θαυμάσῃ.
ΘΟ. τὸν ποῖον; ἆρ' ὃν Τυνδαρὶς τίκτει κόρη;
ΑΓΓ. ὃν τοῖσδε βωμοῖς θεὰ καθωσιώσατο.
ΘΟ. ὦ θαῦμα — πῶς σε μεῖζον ὀνομάσας τύχω;
ΑΓΓ. μὴ 'νταῦθα τρέψῃς σὴν φρέν', ἀλλ' ἄκουέ μου·
σαφῶς δ' ἀθρήσας καὶ κλύων ἐκφρόντισον,
διωγμὸς ὅστις τοὺς ξένους θηράσεται.
ΘΟ. λέγ'· εὖ γὰρ εἶπας· οὐ γὰρ ἀγχίπλουν πόρον
φεύγουσιν, ὥστε διαφυγεῖν τοὐμὸν δόρυ.
ΑΓΓ. ἐπεὶ πρὸς ἀκτὰς ἤλθομεν θαλασσίας,
οὗ ναῦς Ὀρέστου κρύφιος ἦν ὡρμισμένη,
ἡμᾶς μέν, οὓς σὺ δεσμὰ συμπέμπεις ξένων
ἔχοντας, ἐξένευσ' ἀποστῆναι πρόσω
Ἀγαμέμνονος παῖς, ὡς ἀπόρρητον φλόγα
θύουσα καὶ καθαρμὸν ὃν μετῴχετο.

αὐτὴ δ' ὄπισθε δέσμ' ἔχουσα τοῖν ξένοιν
ἔστειχε χερσί. — καὶ τάδ' ἦν ὕποπτα μέν,
ἤρεσκε μέντοι σοῖσι προσπόλοις, ἄναξ.
χρόνῳ δ' — ἵν' ἡμῖν δρᾶν τι δὴ δοκῇ πλέον —
ἀνωλόλυξε καὶ κατῇδε βάρβαρα
μέλη μαγεύουσ', ὡς φόνον νίζουσα δή.
ἐπεὶ δὲ δαρὸν ἥμεν ἥμενοι χρόνον,
ἐσῆλθεν ἡμᾶς μὴ λυθέντες οἱ ξένοι
κτάνοιεν αὐτὴν δραπέται τ' οἰχοίατο.
φόβῳ δ' ἃ μὴ χρῆν εἰσορᾶν καθήμεθα
σιγῇ· τέλος δὲ πᾶσιν ἦν αὐτὸς λόγος,
στείχειν ἵν' ἦσαν, καίπερ οὐκ ἐωμένοις.
κἀνταῦθ' ὁρῶμεν Ἑλλάδος νεὼς σκάφος
ταρσῷ κατήρη πίτυλον ἐπτερωμένον,
ναύτας τε πεντήκοντ' ἐπὶ σκαλμῶν πλάτας
ἔχοντας, ἐκ δεσμῶν δὲ τοὺς νεανίας
ἐλευθέρους πρύμνηθεν ἑστῶτας νεώς.
κοντοῖς δὲ πρῷραν εἶχον, οἱ δ' ἐπωτίδων
ἄγκυραν ἐξανῆπτον· οἱ δὲ κλίμακας,
σπεύδοντες ἦγον διὰ χερῶν πρυμνήσια,
πόντῳ διδόντες τοῖν ξένοιν καθίεσαν.
ἡμεῖς δ' ἀφειδήσαντες, ὡς ἐσείδομεν
δόλια τεχνήματ' εἰχόμεσθα τῆς ξένης
πρυμνησίων τε, καὶ δι' εὐθυντηρίας
οἴακας ἐξηροῦμεν εὐπρύμνου νεώς.
λόγοι δ' ἐχώρουν· „τίνι λόγῳ πορθμεύετε
κλέπτοντες ἐκ γῆς ξόανον καὶ θυηπόλον;
τίνος τίς ὢν σὺ τήνδ' ἀπεμπολᾷς χθονός;"
ὁ δ' εἶπ'· „Ὀρέστης, τῆσδ' ὅμαιμος — ὡς μάθῃς —
Ἀγαμέμνονος παῖς, τήνδ' ἐμὴν κομίζομαι

λαβὼν ἀδελφήν, ἣν ἀπώλεσ' ἐκ δόμων."
ἀλλ' οὐδὲν ἧσσον εἰχόμεσθα τῆς ξένης
καὶ πρός σ' ἔπεσθαι διεβιαζόμεσθά νιν·
ὅθεν τὰ δεινὰ πλήγματ' ἦν γενειάδων.
κεῖνοί τε γὰρ σίδηρον οὐκ εἶχον χεροῖν
ἡμεῖς τε· πυγμαὶ δ' ἦσαν ἐγκροτούμεναι,
καὶ κῶλ' ἀπ' ἀμφοῖν τοῖν νεανίαιν ἅμα
ἐς πλευρὰ καὶ πρὸς ἧπαρ ἠκοντίζετο,
ὥστε ξυνάπτειν καὶ συναποκαμεῖν μέλη.
δεινοῖς δὲ σημάντροισιν ἐσφραγισμένοι
ἐφεύγομεν πρὸς κρημνόν, οἳ μὲν ἐν κάρᾳ
κάθαιμ' ἔχοντες τραύμαθ', οἱ δ' ἐν ὄμμασιν·
ὄχθοις δ' ἐπισταθέντες εὐλαβεστέρως
ἐμαρνάμεσθα καὶ πέτρους ἐβάλλομεν.
ἀλλ' εἶργον ἡμᾶς τοξόται πρύμνης ἔπι
σταθέντες ἱοῖς ὥστ' ἀναστεῖλαι πρόσω.
κἀν τῷδε — δεινὸς γὰρ κλύδων ὤκειλε ναῦν
πρὸς γῆν, φόβος δ' ἦν παρθένῳ τέγξαι πόδα
λαβὼν Ὀρέστης ὦμον εἰς ἀριστερόν,
βὰς ἐς θάλασσαν κἀπὶ κλίμακος θορών,
ἔθηκ' ἀδελφὴν ἐντὸς εὐσέλμου νεώς,
τό τ' οὐρανοῦ πέσημα, τῆς Διὸς κόρης
ἄγαλμα. — ναὸς δ' ἐκ μέσης ἐφθέγξατο
βοή τις· „ὦ γῆς Ἑλλάδος ναῦται νεώς,
λάβεσθε κώπης, ῥόθιά τ' ἐκλευκαίνετε·
ἔχομεν γὰρ ὧνπερ οὕνεκ' ἄξενον πόρον
Συμπληγάδων ἔσωθεν εἰσεπλεύσαμεν."
οἱ δὲ στεναγμὸν ἡδὺν ἐκβρυχώμενοι
ἔπαισαν ἅλμην. — ναῦς δ', ἕως μὲν ἐντὸς ἦν
λιμένος, ἐχώρει· στόμια διαπερῶσα δὲ

λάβρῳ κλύδωνι συμπεσοῦσ' ἠπείγετο·
δεινὸς γὰρ ἐλθὼν ἄνεμος ἐξαίφνης νεὼς
ὤθει παλίμπρυμν' ἱστί'· οἱ δ' ἐκαρτέρουν
πρὸς κῦμα λακτίζοντες· ἐς δὲ γῆν πάλιν
κλύδων παλίρρους ἦγε ναῦν. — σταθεῖσα δὲ
Ἀγαμέμνονος παῖς ηὔξατ'· „ὦ Λητοῦς κόρη,
σῶσόν με τὴν σὴν ἱερέαν πρὸς Ἑλλάδα
ἐκ βαρβάρου γῆς καὶ κλοπαῖς σύγγνωθ' ἐμαῖς.
φιλεῖς δὲ καὶ σὺ σὸν κασίγνητον, θεά·
φιλεῖν δὲ κἀμὲ τοὺς ὁμαίμονας δόκει."
ναῦται δ' ἐπηυφήμησαν εὐχαῖσιν κόρης
παιᾶνα, γυμνὰς ἐκ πέπλων ἐπωμίδας
κώπῃ προσαρμόσαντες ἐκ κελεύσματος.
μᾶλλον δὲ μᾶλλον πρὸς πέτρας ἤει σκάφος·
χὠ μέν τις ἐς θάλασσαν ὡρμήθη ποσίν,
ἄλλος δὲ πλεκτὰς ἐξανῆπτεν ἀγκύλας.
κἀγὼ μὲν εὐθὺς πρὸς σὲ δεῦρ' ἀπεστάλην,
σοὶ τὰς ἐκεῖθεν σημανῶν, ἄναξ, τύχας.
ἀλλ' ἕρπε, δεσμὰ καὶ βρόχους λαβὼν χεροῖν·
εἰ μὴ γὰρ οἶδμα νήνεμον γενήσεται,
οὐκ ἔστιν ἐλπὶς τοῖς ξένοις σωτηρίας.
πόντου δ' ἀνάκτωρ Ἴλιον τ' ἐπισκοπεῖ
σεμνὸς Ποσειδῶν, Πελοπίδαις ἐναντίος,
καὶ νῦν παρέξει τὸν Ἀγαμέμνονος γόνον
σοὶ καὶ πολίταις, ὡς ἔοικεν, ἐν χεροῖν
λαβεῖν, ἀδελφήν θ', ἣ φόνων τῶν Αὐλιδι
ἀμνημόνευτος θεὰν προδοῦσ' ἁλίσκεται.

ΧΟ. ὦ τλῆμον Ἰφιγένεια, συγγόνου μέτα
θανεῖ πάλιν μολοῦσα δεσποτῶν χέρας.

Thoas wendt zich naar links, in de richting der stad. Hij spreekt met grote stemverheffing.

ΘΟ. ὦ πάντες ἀστοὶ τῆσδε βαρβάρου χθονός,
οὐκ — εἶα — πώλοις ἐμβαλόντες ἡνίας
παράκτιοι δραμεῖσθε κἀκβολὰς νεὼς
Ἑλληνίδος δέξεσθε; σὺν δὲ τῇ θεῷ
σπεύδοντες ἄνδρας δυσσεβεῖς θηράσετε;
οἱ δ' ὠκυπομποὺς ἕλξετ' ἐς πόντου πλάτας;
ὡς ἐκ θαλάσσης ἔκ τε γῆς ἱππεύμασι
λαβόντες αὐτοὺς ἢ κατὰ στύφλου πέτρας
ῥίψωμεν, ἢ σκόλοψι πήξωμεν δέμας.

Tot de rei.

ὑμᾶς δὲ τὰς τῶνδ' ἵστορας βουλευμάτων,
γυναῖκες, αὖθις, ἡνίκ' ἂν σχολὴν λάβω,
ποινασόμεσθα· νῦν δὲ τὴν προκειμένην
σπουδὴν ἔχοντες οὐ μενοῦμεν ἥσυχοι.

Terwijl Thoas zich haastig op weg wil begeven, verschijnt plotseling, boven de tempel, de gestalte van Athena.

ΑΘΗΝΑ

ποῖ, ποῖ διωγμὸν τόνδε πορθμεύεις, ἄναξ
Θόας; ἄκουσον τῆσδ' Ἀθηναίας λόγους.
παῦσαι διώκων, ῥεῦμά τ' ἐξορμῶν στρατοῦ·
πεπρωμένος γὰρ θεσφάτοισι Λοξίου
δεῦρ' ἦλθ' Ὀρέστης, τόν τ' Ἐρινύων χόλον
φεύγων, ἀδελφῆς τ' Ἄργος ἐσπέμψων δέμας
ἄγαλμά θ' ἱερὸν εἰς ἐμὴν ἄξων χθόνα,
τῶν νῦν παρόντων πημάτων ἀναψυχάς.
πρὸς μὲν σ' ὅδ' ἡμῖν μῦθος· ὃν δ' ἀποκτενεῖν

δοκεῖς Ὀρέστην, ποντίῳ λαβὼν σάλῳ —
ἤδη Ποσειδῶν χάριν ἐμὴν ἀκύμονα
πόντου τίθησι νῶτα πορθμεύειν πλάτῃ.
μαθὼν δ', Ὀρέστα, τὰς ἐμὰς ἐπιστολάς —
κλύεις γὰρ αὐδὴν καίπερ οὐ παρὼν θεᾶς —
χώρει λαβὼν ἄγαλμα σύγγονόν τε σήν.
ὅταν δ' Ἀθήνας τὰς θεοδμήτους μόλῃς,
χῶρός τις ἔστιν Ἀτθίδος πρὸς ἐσχάτοις
ὅροισι, γείτων δειράδος Καρυστίας,
ἱερός — Ἁλάς νιν οὐμὸς ὀνομάζει λεώς.
ἐνταῦθα τεύξας ναὸν ἵδρυσαι βρέτας
ἐπώνυμον γῆς Ταυρικῆς, πόνων τε σῶν,
οὓς ἐξεμόχθεις περι-πολῶν καθ' Ἑλλάδα
οἴστροις Ἐρινύων· Ἄρτεμιν δέ νιν βροτοὶ
τὸ λοιπὸν ὑμνήσουσι Ταυροπόλον' θεάν.
νόμον τε θὲς τόνδ'· ὅταν ἑορτάζῃ λεώς,
τῆς σῆς σφαγῆς ἄποιν' ἐπισχέτω ξίφος
δέρῃ πρὸς ἀνδρός, αἷμα τ' ἐξανιέτω,
ὁσίας ἕκατι, θεά θ' ὅπως τιμὰς ἔχῃ.
σὲ δ' ἀμφὶ σεμνάς, Ἰφιγένεια, κλίμακας
Βραυρωνίας δεῖ τῇδε κληδουχεῖν θεᾷ.
οὗ καὶ τεθάψῃ κατθανοῦσα, καὶ πέπλων
ἄγαλμά σοι θήσουσιν εὐπήνους ὑφάς,
ἃς ἂν γυναῖκες ἐν τόκοις ψυχορραγεῖς
λείπωσ' ἐν οἴκοις. — τάσδε δ' ἐκπέμπειν χθονὸς
Ἑλληνίδας γυναῖκας ἐξεφίεμαι,
* * * * * * * * * * * * *
* * * * * * * * * * * * *
γνώμης δικαίας οὕνεκ'· ἐξέσωσα δὲ
καὶ πρίν σ' Ἀρείοις ἐν πάγοις ψήφους ἴσας

κρίνασ', Ὀρέστα· καὶ νόμισμ' ἔσται τόδε,
νικᾶν ἰσήρεις ὅστις ἂν ψήφους λάβῃ.
ἀλλ' ἐκκομίζου σὴν κασιγνήτην χθονός,
Ἀγαμέμνονος παῖ. — καὶ σύ, μὴ θυμοῦ, Θόας.

ΘΟ. ἄνασσ' Ἀθάνα, τοῖσι τῶν θεῶν λόγοις
ὅστις κλύων ἄπιστος, οὐκ ὀρθῶς φρονεῖ.
ἐγὼ δ' Ὀρέστῃ τ', εἰ φέρων βρέτας θεᾶς
βέβηκ', ἀδελφῇ τ' οὐχὶ θυμοῦμαι· τί γὰρ
πρὸς τοὺς σθένοντας θεοὺς ἀμιλλᾶσθαι καλόν;
ἴτωσαν ἐς σὴν σὺν θεᾶς ἀγάλματι
γαῖαν, καθιδρύσαιντό τ' εὐτυχῶς βρέτας.
πέμψω δὲ καὶ τάσδ' Ἑλλάδ' εἰς εὐδαίμονα
γυναῖκας, ὥσπερ σὸν κέλευσμ' ἐφίεται·
παύσω δὲ λόγχην ἣν ἐπαίρομαι ξένοις
ναῶν τ' ἐρετμά· — σοὶ τάδ' ὡς δοκεῖ, θεά.

ΑΘ. αἰνῶ· τὸ γὰρ χρεὼν σοῦ τε καὶ θεῶν κρατεῖ.
ἴτ' — ὦ πνοαί, ναυσθλοῦσθε τὸν Ἀγαμέμνονος
παῖδ' εἰς Ἀθήνας· συμπορεύσομαι δ' ἐγὼ
σῴζουσ' ἀδελφῆς τῆς ἐμῆς σεμνὸν βρέτας.

ΧΟ. ἴτ' ἐπ' εὐτυχίᾳ, τῆς σῳζομένης
μοίρας εὐδαίμονες ὄντες.
ἀλλ', ὦ σεμνὴ παρά τ' ἀθανάτοις
καὶ παρὰ θνητοῖς, Παλλὰς Ἀθάνα,
δράσομεν οὕτως ὡς σὺ κελεύεις.
μάλα γὰρ τερπνὴν κἀνέλπιστον
φήμην ἀκοαῖσι δέδεγμαι.

ὦ μέγα σεμνὴ Νίκη, τὸν ἐμὸν
βίοτον κατέχοις
καὶ μὴ λήγοις στεφανοῦσα.

85
5582

ENKELE UITGAVEN BESTEMD VOOR HET ONDERWIJS IN DE

KLASSIEKE TALEN

(VOLLEDIGE LIJST GRATIS OP AANVRAAG)

Caesar, C. Julius, Commentarii de bello Gallico cum A. Hirti supplementis, met inleiding, woordenlijst en kaart door A. HALBERSTADT. Herdruk 1937. 1 kaart. kl. 8vo. I. **Tekst**. XII, blz. 1—180. *f* —.70; gecart. *f* —.90

— II. **Vocabularium** door H. HALBERSTADT, voorafgegaan door: De Nederlaag van Ariovistus door F. Kroon. Herdruk 1937. Met 2 fig. kl. 8vo. blz. 181—300. *f* —.70; gecart. *f* —.90

Euripides, Medea, van aantekeningen voorzien door J. C. KAMERBEEK. 1940, kl. 8vo. XVI, 70 blz. *f* 1.—

Euripides, Iphigenia in Taurië. Bewerkt door J. D. MEERWALDT. 1940. kl. 8vo. I. **Inleiding en Tekst**. XII, 53 blz. *f* 1.25

—— II. **Commentaar en Critische Aantekeningen**. kl. 8vo. IV, 64 blz. *f* 1.25

Horatius Flaccus, Q., Satiren en brieven bewerkt door W. G. VAN DER WEERD. Vierde onveranderde dr. 1925. kl. 8vo. IV, 192 blz. *f* 1.55

—— Oden en Epoden, bewerkt door W. G. VAN DER WEERD, Vierde onveranderde dr. 1928. kl. 8vo. XVI, 184 blz. *f* 2.20

Ovidius Naso, P., Metamorphoses. Deel I (Libri I—V), uitgegeven en van aantekeningen voorzien door D. E. BOSSELAAR, 1939. kl. 8vo VIII, 147 blz. *f* 1.10

—— —— Deel II (Libri VI—X), uitgegeven en van aantekeningen voorzien door D. E. BOSSELAAR, 1940. kl. 8vo. 184 blz. *f* 1.10

Deel III is in bewerking.

Platoon, Bloemlezing uit de Dialogen. Bewerkt door S. J. WARREN. Vijfde, geheel herziene en vermeerd. uitg., bewerkt door J. JANSSEN. 1939, kl. 8vo. XII, 170 blz. *f* 2.25

Ploutarchos, Bloemlezing. Met aantekeningen uitgegeven door S. J. WARREN. Opnieuw bewerkt en herzien door J. H. W. STRIJD. 1938. kl. 8vo. 151 blz. *f* 1.20

Ploutarchos, Leven van Aratos. Met aanteekeningen door W. P. THEUNISSEN. 1940. Met 6 pl., 3 fig. en 1 uitsl. kaart. gr. 8vo. XLVIII, 78 blz. *f* 2.20

Sallustius Crispus, C., Coniuratio Catilinae. Met aantekeningen uitgegeven door SJ. WARTENA. 1938. kl. 8vo. XII, 60 blz. *f* —.90

Vergilius Maro, P., Aeneis, bewerkt door J. VAN DER VLIET, herzien door M. TH. HILLEN. 1930. 1 pl. 8vo. XVI, 328 blz. *f* 2.50; gecart. *f* 2.80

Xenophoon, Anabasis in usum scholarum edidit C. G. COBET. Editio decima quam curavit M. Boas. 1933. 1 Kaart kl. 8vo. XXXII, 252 blz. *f* 2.20